My Humility made haste to write to you first and give this brief friendly advice. We sent another letter like this to your Curopalate and to the Prince of Abasgia, whom we advised to listen to you, to forget their animosities, to seek friendship, unity, and peaceful coexistence with one another as well as with all the Armenian and Albanian princes, to come together unanimously and fight against the children of the ungodly enemy Aposatai so that you might not all perish and so that the kindred races that are under your sway might not be shaken. Now, your Holiness must try to extirpate the wicked animosities among the princes by talking to them face to face, or by means of letters and encyclicals, as well as with the help of bishops, priests, and holy men, and see to it that they are not negligent in this. You must encourage them to turn to better things, such as the redemptive mysteries and salutary works. For if you are thus of one accord and unified, the destructive evil will be unable to bring any kind of affliction upon your land. And while you yourself carry out these matters, our God-crowned Emperor will send large forces to your aid in accordance with the demands of the times so that your Curopalate as well as the Prince of Abasgia together with the princes and the nobility of Armenia might join our forces and, with the help of God and through your priestly intercession having fought against the enemy, the so-called accomplice of the devil, might vanquish them.

Only then, both you and we shall grant them remission for their sinful animosity, which they iniquitously allowed to prevail among themselves. And as it befits your Holiness, you may grant each one his rights so that every individual may be reinstalled in his former office. Hereafter, let there be the peace of Christ among you, and let your prayers, which shine with holiness, be with our Humility.

199. Tract on the Tetragamy

I

Ὅτι τὸ λέγειν τὸν δημιουργὸν τοῦ παντὸς περὶ τοῦ Ἀδὰμ «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν» οὐκ ἔστι πλειόνων γάμων ἐπιτροπή, ἀλλὰ μόνου ἑνός· διὰ τοῦτο καὶ μίαν πλάττει γυναῖκα καὶ μίαν ἐξελὼν πλευρὰν τοῦ Ἀδάμ, ἣν καὶ εἰς γυναῖκα διαπλάσας νυμφαγωγεῖ αὐτῷ. Ὥστε ἡ παρὰ θεοῦ νυμφαγωγία μίαν οἶδε συνάφειαν, αἱ δὲ παρὰ ταύτην οὐκ ἤρτηνται θείου νόμου, εἰ καὶ ἀνθρωπίνως συγκεχώρηνται.

II

Ὅτι τὸ «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν» οὐ τοσοῦτον διὰ τὴν συνάφειαν, εἰ καὶ συμβαίνει διὰ τὴν τοῦ γένους διαδοχήν, ὅσον διὰ τὴν μόνωσιν καὶ τὴν πρὸς τὸν βίον εἴρηται ἀπορίαν· ὅπερ εὖ εἰδὼς ὁ ἀπόστολος ὕστερον τῷ ἀσθενεστέρῳ μέρει καὶ ἀπορωτέρῳ τὸν δεύτερον ἐπιτρέπει γάμον, τουτέστι γυναιξί, καὶ οὐκ ἀνδράσι τοῖς μᾶλλον μὴ δεομένοις πρὸς τὸ ζῆν βοηθείας.

III

Ὅτι καὶ τὸ «Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα» περὶ μονογαμίας εἴρηται. Ἦ οὐχὶ πρὸς τὴν πρώτην συνάφειαν ὁρμῶντες ἄνθρωποι καταλιμπάνουσι τοὺς οἰκείους γονέας καὶ πρὸς μίαν σάρκα συνάπτονται; Πρόδηλον οὖν ὡς ἐκείνη μόνη κυρίως ἂν εἴη γαμετή, δι' ἣν ἡ κατάλειψις τοῦ πατρὸς καὶ τῆς μητρὸς τῷ πρὸς ταύτην συναπτομένῳ διαπράττεται.

199: **I** 1–2: Gen. 2:18. ‖ 3–5: Gen. 2:21–22. ‖ **II** 1: Gen. 2:18. ‖ 3–5: 1 Cor. 7: 8–9. ‖ **III** 1–2: Gen. 2:24.

199: m 66ʳ–81ʳ

199. Tract on the Tetragamy

I

When the Creator of the Universe says of Adam, "Let us make a help meet for him," this is not permission for more than one marriage, but for one only; therefore He also creates one woman, having taken one of Adam's ribs, out of which He forms a woman to bring her to him as his bride. Consequently marriage as instituted by God knows one union only, and further unions do not derive from Divine Law, even though they are permitted from human considerations.

II

The words "Let us make a help meet for him" were spoken not so much in view of the union, even though this does take place for the sake of the reproduction of the kind, as in view of man's solitude and his helplessness in providing a living; later the Apostle, who understood this well, permits the second marriage to the weaker and more shiftless party, that is, to women, not to men, who are less in need of help to survive.

III

The words "Therefore shall a man leave his father and his mother" also apply to monogamy. Or is it not for their first marriage that people leave their parents and marry so as to become one flesh? It is evident, then, that only she can be the spouse properly so called for whose sake the man who becomes her husband actually leaves his father and mother.

IV

Ὅτι εἰ δέον συγχωρεῖν τέταρτον, οὐχ ἑνὶ δέον, ἀλλὰ πᾶσι· τοῦτο δέ ἐστιν ἀπάρνησις τῆς Χριστιανῶν πίστεως.

V

Ὅτι καὶ ὁ τοῦ κυρίου λόγος, εἰπόντος «Ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω,» ἐπ' ἐκείνην τὴν πρώτην ἀνάγει μνηστείαν ἣν ὁ πλάστης καὶ νυμφαγωγὸς τῷ Ἀδὰμ ἐμνηστεύσατο, ἀλλ' οὐ περὶ δευτέρου ἢ τρίτου ὁ λόγος αὐτῷ.

VI

Ὅτι καὶ ἐκ τῆς τοῦ κυρίου σαρκώσεως ἡ μονογαμία νενομοθετημένη παρὰ θεοῦ μόνη γινώσκεται. Μιᾶς γὰρ ἐκ τοῦ ἀνδρὸς πλευρᾶς εἰς διάπλασιν ληφθείσης τῆς γυναικὸς καὶ ὀφλήματος ἑνὸς ὄντος τῇ Εὔᾳ πρὸς τὸν Ἀδάμ, μία παρθένος ἐκ τῶν αὐτῆς ἀχράντων αἱμάτων ἑνὶ ὑπὲρ τοῦ Ἀδὰμ σαρκωθέντι υἱῷ ἀντιδοῦσα τὴν ὕλην εἰς διάπλασιν τῆς ἁγίας σαρκὸς ἀνεπλήρωσε τὴν ὀφειλὴν τῆς προμήτορος. Ὥστε εἰ ἓν ὄφλημα τὸ τῆς γυναικὸς πρὸς τὸν ἄνδρα καὶ μία ἀνταπόδοσις τοῦ ὀφλήματος, οὐ δύο γυναῖκες ἁρμόσουσι τῷ ἀνδρί, ἀλλὰ μία.

VII

Ὅτι ⟨εἰ⟩ ἡ τοῦ κυρίου παρουσία βελτίωσις γέγονε καὶ τελείωσις τῷ ἀνθρωπείῳ βίῳ, πῶς ἔχει λόγον τὸν ἐκ τῆς ἀτελοῦς πολιτείας ἀνάγοντα μὴ κωλύειν ἐπὶ πλείονας προέρχεσθαι γάμους; ὁπότε μηδὲ ὁ νόμος τοιοῦτον ἐπιτρέπει, πλὴν ὅσον ἐπ' ἀδελφοῦ ὁμοιότητος ἔγερσιν, κἂν τινες ἐν νόμῳ τελοῦντες διαφόροις ὡμίλησαν γάμοις.

V 1–2: Matth. 19:6; Marc. 10:9. ‖ **VII** 3–5: Deut. 25:5–6 (Matth. 22:24; Marc. 12:19; Luc. 20:22).

VII 1 εἰ add. Wk ‖ 2 βίῳ Wk: λόγῳ m

IV

If we are to permit a fourth marriage, we must do so not for one, but for all; this, however, is a denial of the Christian faith.

V

The saying of the Lord, "What God has joined together, let not man put asunder," also brings us back to that first betrothal arranged for Adam by the Creator and Giver of his bride; He does not speak of a second or third.

VI

From the Lord's incarnation, too, we learn that only a single marriage is the law laid down by God. For since it was only one man's rib that was taken to shape woman and thus there was only one debt that Eve owed to Adam, it was one Virgin who in return gave to one Son, incarnated on behalf of Adam, the matter for the formation of His Holy Flesh from her immaculate blood, and thereby repaid the debt owed by the first mother. Consequently, if the debt of woman to man is one and the repayment of the debt is one, not two women shall be joined to a man, but one only.

VII

If the Lord's coming meant an improvement and a perfection for human society, how is it conceivable that He Who lifted man up from an imperfect way of life should not prevent him from entering into a succession of marriages? Even the Law does not permit such a thing, except to preserve a brother's image in a child, although some who lived under the Law did contract several marriages.

VIII

῞Οτι ὁ κύριος τῆς ἐξ ἀρχῆς παρ' αὐτοῦ δεδομένης τῷ πλάσματι διατάξεως ἐλθὼν πρὸς ἡμᾶς ὑψηλοτέραν, ἀλλ' οὐκ ἐλάττονα τὴν διάταξιν δίδωσι. Τότε γὰρ τὴν γυναῖκα τῷ ἀνδρὶ συνάψας νῦν φησιν ἥκειν (ἤγουν «ἐλθεῖν») διαχωρίσαι ἄνδρα τῆς γυναικὸς καὶ υἱὸν καὶ θυγατέρα ἀπὸ πατρὸς καὶ μητρός. Τίνα οὖν ἔχει λόγον τὸ νομίζειν μὴ παρὰ τοῦ κυρίου κεκωλῦσθαι πολυγαμίαν;

IX

῞Οτι ὁ θεὸς τὰ δημιουργήματα ὑποστήσας ἅπαξ ἔδωκεν αὐτοῖς τάξιν καθ' ἣν δεῖ ῥυθμίζεσθαι καὶ διατελεῖν, οἷον σπόρῳ θέρει, ἔαρι χειμῶνι, νυκτὶ ἡμέρᾳ, ὡσαύτως καὶ τῇ γενέσει τῶν ζῴων. Παρεσχέθη οὖν καὶ τῷ ἀνθρώπῳ γυνὴ μία, μεθ' ἧς δεῖ αὐτὸν μέχρις ἂν τὸ βούλημα τοῦ παρασχόντος ἐπιτρέπει συζῆν· οἱ δὲ παρὰ τοῦτον γάμοι ἀνθρωπίνης συγκαταβάσεως, ἀλλ' οὐ θεϊκῆς διατάξεως.

X

῞Οτι καὶ ἡ τοῦ θείου ἀποστόλου περὶ χειροτονίας νομοθεσία, δι' ὧν ὁρίζει τοὺς μιᾶς γυναικὸς ἄνδρας πρὸς θείαν λειτουργίαν ἀναλαμβάνεσθαι, τί ἄλλο ἢ τοῦτο ἡμᾶς διδάσκει, ὅτι εἷς γάμος ὁ παρὰ θεοῦ ὁρισθεὶς τῇ φύσει; Καὶ διὰ τοῦτο ὡς ἀμέμπτου ὄντος οὐκ ἀνάξιοι πρὸς χειροτονίαν οἱ νομίμως αὐτῷ ὑπουργήσαντες, οἱ δὲ παρὰ τοῦτο ὑπὸ μέμψιν· καὶ διὰ τοῦτο οὐδεὶς τῶν ἐκ δευτέρου γάμου τῇ ἱερᾷ προσάγεται ὑπηρεσίᾳ. Εἰ δὲ μὴ ὁ δεύτερος ἄμεμπτος ὡς μὴ θεόθεν διδόμενος (ἐποίησε γὰρ ὁ θεὸς πάντα «καλὰ λίαν»), πῶς ἄν τις εἴποι γ' ἢ τέταρτον μὴ παρὰ θεοῦ κωλύεσθαι;

VIII 3–5: Matth. 10:35. ‖ **IX** 1–3: Gen. 8:22. ‖ **X** 1–3: 1 Tim. 3:2. ‖ 8: Gen. 1:31.

VIII

When the Lord came to us, he established a higher, not a lower, standard than the one He had set for His creature originally. Whereas He then joined woman to man, He now says that He has arrived (or "come") to sever the man from his wife and the son and the daughter from their father and mother. What sense does it make, then, to hold that polygamy was not forbidden by the Lord?

IX

When God had wrought His creatures, He gave them once and for all an order to which they must conform and by which they must abide, such as seedtime and harvest, spring and winter, night and day, and so too for the generation of animals. As for man, he was given one wife, with whom he must live as long as the Giver's will allows him; marriages in excess of this are a matter of human indulgence, not of Divine Ordinance.

X

Further, the Divine Apostle's decree on ordination, where he prescribes that only husbands of one wife are acceptable for the divine service, teaches us precisely this: that marriage as ordained by God is by its nature only one. For this reason, because such a marriage is irreproachable, those who have lawfully fulfilled their duty in it are not unworthy of ordination, while marriages beyond this are subject to censure; therefore no one who has remarried is admitted to the holy ministry. But if even the second marriage is not blameless inasmuch as it is not instituted by God (since all that God made is "very good"), how can anybody say that a third or fourth marriage is not forbidden by God?

XI

Ὅτι τὸ τοῦ ἀποστόλου «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι» τὴν ἀγαμίαν προτιμῶντος εἴρηται· ὁ δὲ τῆς νομίμου συζεύξεως τὴν ἀγαμίαν προκρίνων πῶς ἐπιτρέψει παρανόμως συνάπτεσθαι; Σφάλλονται οὖν οἱ λέγοντες τὸν ἀπόστολον διὰ τοῦ λέγειν «Κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι» πλείοσιν ἐπιτρέπειν ὁμιλεῖν γάμοις, ἀλλ' ἡ παραίνεσις τὸν ἕνα μόνον διδάσκει.

XII

Ὅτι ὁ μέγας ἀπόστολος Παῦλος παραινῶν δεῖν τοὺς ἄνδρας ἀγαπᾶν τὰς γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, δείκνυσι τηλαυγῶς τοῖς μὴ παντελῶς ἀποτετυφλωμένοις μίαν καὶ μόνην ἀνδρὶ συνάπτεσθαι ὀφείλειν γυναῖκα· οὐδὲ γὰρ δύο τοῦ Χριστοῦ ἐκκλησίαι, ἀλλὰ μία παραδέδοται καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. Φησὶ δὲ οὕτως· «Ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει τε καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ κύριος τὴν ἐκκλησίαν.» Καὶ τὸ ἑξῆς δέ, «Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν,» φανερῶς ἀποτρέπει τὴν ἐπὶ δευτερογαμίαν πρόοδον. Εἰ δὲ μὴ χώρα τῷ δευτέρῳ γάμῳ, τίς ἂν ὑπολείποιτο τοῖς πλείοσιν;

XIII

Ὅτι διὰ τοῦ εἰπεῖν τὸν θεῖον Βασίλειον «πορνείαν κεκολασμένην» τὴν τριγαμίαν κεκώλυται ἡ τετάρτη συνάφεια, καὶ μόνως ὀνομαζομένη «πολυγαμία,» κἂν μηδὲν ἕτερον περὶ ταύτης εἴρητο. Ἔφη γὰρ «κεκολασμένην πορνείαν» τὴν τριγαμίαν, ἵνα σαφῶς εἰδεῖεν οἱ πλέον ἐπεκτεινόμενοι ὡς πρὸς φανερὰν ἐξελαύνουσι πορνείαν, εἰ καὶ ταύτης φησὶ «πλέον» ἔχειν τὴν πολυγαμίαν ὁ μετὰ ταῦτα ἐντεταγμένος κανών.

XI 1:1 Cor. 7:1. ‖ 4–5: 1 Cor. 7:9. ‖ **XII** 1–9: Ephes. 5:28–29. ‖ 9–10: Ephes. 5:32. ‖ **XIII** 1–3: Basil., *Ep.* 188, can. 4, PG, 32, 673A6–7. ‖ 5–6: Basil., *Ep.* 217, can. 80, PG, 32, 805B1–2.

XI

The Apostle's word, "It is good for a man not to touch a woman," expresses his preference for the single state; now how can he who prefers this state to lawful wedlock permit illegal marriages? Accordingly those who maintain that the Apostle, by saying "It is better to marry than to burn," encourages a plurality of marriages are wrong; the advice pertains to the one marriage only.

XII

The great Apostle Paul, admonishing men to love their wives as their own bodies as Christ loves the Church, makes it manifest to those who are not totally blinded that a man should wed one wife only: there are not two Churches of Christ either, since tradition acknowledges one Catholic and Apostolic Church. He expresses himself thus: "Men ought to love their wives as their own bodies; for no man ever yet hated his own flesh, but he nourishes and cherishes it, even as the Lord the Church." And the sequel, too, "This is a great mystery, but I speak concerning Christ and the Church," obviously dissuades the step of a second marriage. But if there is no place for the second marriage, what can there be for more?

XIII

By the fact that the Divine Basil calls the third marriage "restricted fornication" the fourth union is forbidden; also by the mere fact that it is called "polygamy," even if nothing else were said about it. He calls the third marriage "restricted fornication" to make those inclined to exceed even this realize clearly that they are passing the limit of open fornication, since the canon placed after this one states that polygamy is something "more" even than fornication.

XIV

Ὅτι «πλέον πορνείας» ἡ πολυγαμία, διότι ὁ πόρνος, εἰ καὶ πράττει τὸ παράνομον, μεταδιώκει τὸ κρύφιον· ἡ δὲ πολυγαμία δημοσιευομένην εἰσάγει καὶ παρρησίᾳ πολιτευομένην τὴν παρανομίαν.

XV

Ὅτι μὴ διότι τινὲς πολλάκις τῶν κατεχόντων τοὺς νόμους παρορῶσι τὴν παράβασιν αὐτῶν, διὰ τοῦτο δεῖ καὶ ἄλλους ἀτιμάζειν τὸν νόμον καὶ ποιεῖσθαι τύπον τὰ παραβαθέντα καὶ παράδειγμα.

XVI

Ὅτι ἡ οἰκονομία οὐκ ἐπὶ βεβαιώσει τῶν ἁμαρτανομένων γίνεται, ἀλλ' ἐπὶ ἀπαλλαγῇ τῆς ἁμαρτίας καὶ σωτηρίᾳ τοῦ ἁμαρτάνοντος· ὅτι ἡ οἰκονομία ἐπὶ καταγνώσει τοῦ σφάλματος γίνεται ἐφ' ᾧ ἀξιοῦνται τῆς οἰκονομίας διὰ φιλανθρωπίαν οἱ ἐχόμενοι τῷ ἁμαρτήματι· ὅτι ἡ οἰκονομία κοινή τίς ἐστι καὶ διάδοσις ἐπὶ πάντας τοὺς ἐφ' ὧν ἐπὶ εὐεργεσίᾳ καὶ σωτηρίᾳ τελεῖται, ἀλλ' οὐκ ἰδία τις καὶ ἀποτεταγμένη τοῖς λαμβάνουσι χάρις.

XVII

Ὅτι τὴν διάζευξιν εἰ καὶ μὴ λόγῳ, ἀλλὰ πράγματι, ὅπερ ἐστὶ τρανότερον τῆς ἐκ λόγων παρακελεύσεως, παρακελεύεται ὁ κανών. Τί γὰρ ἕτερόν ἐστιν ἐκ τῶν ἱερῶν περιβόλων ἀφορισμός, τουτέστιν ἡ τοῦ σώματος τῆς ἐκκλησίας ἐκτομή, ἢ πρόσταξις διαζεύξεως; Ἐπεὶ γὰρ ἡ ἁμαρτία ἐπισπασαμένη ἥνωσεν ἑαυτῇ, ἀνάγκη τῆς ἐκκλησίας, τουτέστι τοῦ σώματος τῶν πιστῶν ἐκτέμνεσθαι τὸν ἡνωμένον τῇ ἁμαρτίᾳ, καὶ οὐκ ἄν ποτε συναφθείη τῷ ἐξ οὗ διετμήθη σώματι μὴ τῆς πρὸς τὴν ἁμαρτίαν ἑνώσεως διαστάς. Ὥσπερ γὰρ ὁ ταύτῃ ἑνωθεὶς τὴν ἀρχὴν ἀπέστη τῆς ἐκκλησίας, οὕτω πάλιν ὁ μέλλων συναφθῆναι τῷ πληρώματι τῆς ἐκκλησίας, ἀνάγκη τῆς ἁμαρτίας τοῦτον διίστασθαι· ἀμήχανον δὲ ἀμφότερα συνδραμεῖν, τό τε τῇ ἁμαρτίᾳ ἡνῶσθαι καὶ τὸ μὴ τοῦ σώματος τῶν πιστῶν κεχωρισμένον γνωρίζεσθαι.

XIV 1: ibid.

XVI 3 ᾧ Karlin-Hayter: ὃ m || **XVII** 5 ἑαυτῇ Karlin-Hayter: -ῆν m || 12 τὸ Karlin-Hayter: τοῦ m

XIV

Polygamy is "more than fornication," because the fornicator, in spite of his lawless behavior, still seeks secrecy, whereas polygamy introduces sin practiced openly as an acknowledged social institution.

XV

The face that some of those charged with enforcing the laws often connive at their being transgressed, is no reason for others to despise the law and make the transgression a pattern and an example.

XVI

Dispensation is not granted to support sin, but to free from sin and save the sinner; dispensation aims at the condemnation of the error for which it is extended, out of clemency, to those in the grip of that sin; dispensation is universal and distributed to all those for whose benefit and salvation it is given; it is not a personal favor restricted to the receivers.

XVII

Though the canon does not prescribe separation in so many words, it does so in fact and in a way clearer than a mere verbal command. What else, indeed, is exclusion from the sacred precincts, in other words, excision from the body of the Church, but an order of separation? For since sin has seduced the man and united him to herself, the one so united with sin must be severed from the Church, that is, from the body of the faithful, and he can never be united again with the body from which he was cut off, unless he detaches himself from the union with sin. In the same way as at the beginning the man who united himself with sin removed himself from the Church, so the one who is to rejoin the community of the Church must separate himself from sin; it is impossible for the two to go together, being united with sin, and not being found severed from the body of the faithful.

XVIII

Ὅτι οἱ ληροῦντες ὡς τὸ «πλέον πορνείας» εἶναι τὸ ἁμάρτημα οὐκ ἔστι πλέον τῆς ἀνειμένης, ἀλλὰ τῆς κεκολασμένης, τουτέστι τῆς τριγαμίας, εἰπάτωσαν τί τὸ πλέον λογίζονται πρὸς τὴν ἀνειμένην. Εἰ γὰρ μὴ πλέον ἐκείνης, πάντως ἕξει τὸ ἴσον πρὸς αὐτὴν ἢ τὸ ἔλαττον. Τί δὴ ποτ' οὖν ἡ μείζων, τουτέστιν ἡ ἀνειμένη, ἀνθρώπινον λογίζεται ἁμάρτημα καὶ μνήμης τυγχάνει παρὰ τῶν πνευματικῶν ἰατρῶν καὶ θεραπείας ἀξιοῦται (τέθεινται γὰρ περὶ ταύτης κανόνες καὶ μέθοδοι σωτηρίας καὶ οὐδεὶς αὐτὴν εἴρηκεν οὔτε «ἀλλότριον φύσεως ἀνθρωπίνης» οὔτε «κτηνῶδες», ἀλλ' οὐδὲ «βίον χοιρώδη», ἀνθρώπινον δὲ τὸ παράπτωμα ἴσασι καὶ τῆς ὀφειλομένης ἀξιοῦσι μεθοδείας), ταύτην δὲ τὴν νομιζομένην ἐλάττω παρὰ τοῖς σοφοῖς τούτοις, μᾶλλον δὲ ἀνοήτοις, οὔτε τις τῶν θείων πατέρων μνήμης ἠξίωσεν οὔτε τρόπος θεραπείας περὶ αὐτῆς ἐγνώρισται, ἀλλ' οἷα ἀλλότριον τοῦ ἀνθρωπίνου γένους καὶ πρὸς τὸν βίον τῶν κτηνῶν ἀπερριμμένον παντελῶς ὀπίσω μνήμης καὶ συνόδοις ἁπάσαις καὶ ἰδίᾳ τοῖς πατράσι μέχρι τοῦ θείου καταλέλειπται Βασιλείου; Ἀλλ' εἰ μὲν ἔλαττον, τί δὴ ποτε τούτων οὐ τυγχάνει ὧν τὰ μείζω; Εἰ δὲ ἴσα, πάλιν ἁρμόσει ταῦτα δὴ τὰ εἰρημένα καὶ ἐπὶ τούτοις ἔλεγχος ἕτερος.

XIX

Ὅτι πρὸς τὴν ἀπόνοιαν τῶν λεγόντων δεδυνῆσθαι οἰκονομεῖν, ὃ ἀδύνατον ἡμῖν εἴρηται, ῥητέον· Πόθεν αὐτοῖς ἐπῆλθε τῆς οἰκονομίας ἡ δύναμις; Τῷ γὰρ εἰπόντι μὴ δύνασθαι οἰκονομεῖν τοῦτο εἴρηται διὰ τὸ μὴ εἶναι τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας τοιαύτην λαμβάνειν ἐπιτροπήν. Πόθεν οὖν ἐκείνοις τῆς οἰκονομίας ἡ παρουσία; Εἰ μὲν ἀπὸ τῆς ἐκκλησίας, δῆλον ἀπὸ τῶν θεσμῶν τοῦ πνεύματος ὃ ἐν τῇ ἐκκλησίᾳ θεσπίζει· καὶ δεικνύτωσαν ποῦ τοῦτο τεθεσπισμένον εὑρήκασιν. Εἰ δὲ ἡ δεῖξις ἀμήχανος (πῶς γὰρ δείξουσι τὸ μὴ ὄν;), πρόδηλον ὡς ἐκ τοῦ ἐναντίου πνεύματος καὶ ἡ δύναμις αὐτοῖς καὶ τὸ οἰκονόμημα. Ἐφ' ᾧ δέον αὐτοὺς οἰμώζειν ὡς κατακρίτους, ἀλλ' οὐχ ὡς ἀθῴους θρασύνεσθαι.

XVIII 1: ibid. || 2: cf. Basil., *Ep.* 188, can. 4, PG, 32, 673A6–7. || 8–9: Basil., *Ep.* 217, can. 80, PG, 32, 805A15–B1. || 9: Greg. Naz., *Or.* 37.8, PG, 36, 292B9–10. || **XIX** 1–2: cf. supra *Op.* 194 I, 2–3; II, 7–9.

XVIII 13 οἷα e corr. (dub.) m || 15 ἁπάσαις Karlin-Hayter: -σας m || **XIX** 5 παρουσία] fort. ἐξουσία || 6 ὃ Karlin-Hayter: ὁ m

XVIII

Let those who hold the ridiculous view that, when the sin is described as "more than fornication," this does not mean more than unrestrained, but more than restricted fornication, i.e., a third marriage, explain what they consider as "more" in respect of unrestrained fornication. If a fourth marriage is not "more" than this, it will necessarily be either equal or less. Why then is the greater sin, i.e., unrestrained fornication, regarded as a human failing and is it found worthy of mention and of treatment by the spiritual physicians (there are canons for it and ways of salvation, and nobody has called it "alien from human nature" or "beastly," or again "a swinish way of life," but they recognize the error as human and allow it the necessary treatment), and why, on the other hand, is this sin, which is looked upon as less serious by these wise men—or rather, by these fools—not deemed worthy of mention by any of the holy Fathers, nor has any cure for it been indicated? Why is it considered "alien from mankind" and rejected as bestial and therefore passed over in complete silence by all the councils as well as by the individual Fathers up to St. Basil? If it is less grave, why ever is it not granted the same treatment that graver sins are? If, however, it is equal, these same points will apply, and another argument may be added.

XIX

In response to the mad conceit of those who say that they were able to grant a dispensation, which we declared to be impossible, one should ask: Whence have they obtained this power of dispensation? He who declared himself unable to give despensation said so on the ground that it is not for ecclesiastical legislation to assume such competence. Where, then, did they acquire the authority for dispensation? If from the Church, it must be from the commandments of the Spirit Which dictates the laws of the Church; in which case let them show where they have found such a commandment. If, on the contrary, this is impossible to show (how can they show what is not there?), then obviously both their power and their dispensation come from the contrary spirit. This should make them wail for their damnation, not pride themselves on their blameless conduct.

XX

Ὅτι πρὸς τὴν ἀπονενοημένην αὐτῶν προβολὴν τῆς συμφωνίας (φασὶ γὰρ ὅτι συμφώνῳ ψήφῳ αὐτῶν τε καὶ ἄλλων δή τινων, οἷς τὸ κράτος τῆς συμφωνίας αὐτῶν ἐγχειρίζουσι, τὴν παραδοχὴν πεποιῆσθαι τοῦ ἀλλοτρίου γάμου τοῦ τῶν ἀνθρώπων γένους) ἀποκριτέον ὡς οὐ δεῖ συμφωνίᾳ πείθεσθαι πονηρᾷ, ἀλλὰ μᾶλλον ἀκολουθεῖν διαφωνίᾳ τῆς πονηρίας ἀμετόχῳ. Ἐξ ἀρχῆς γὰρ καὶ μέχρι τοῦ νῦν οἱ συμφωνήσαντες ἐπὶ κακῷ οὐδεμίαν εὑρήσουσιν ἐκ τῆς συμφωνίας παραίτησιν τῆς κατακρίσεως. Συνεφώνησε γὰρ πρῶτος ὁ ὄφις καὶ ἡ Εὔα, καὶ διὰ βίου πᾶσι ζωῆς δέδοται ἡ κληρονομία. Συνεφώνησαν ἐπὶ τῇ τοῦ πύργου οἰκοδομῇ, ἀλλὰ θεομαχία ἦν ἡ συμφωνία. Συνεφώνησαν ἐπὶ τῇ τοῦ Ἰωσὴφ ἐπιβουλῇ οἱ ἀδελφοί, ἀλλ' ἀδελφοκτόνος ἡ συμφωνία. Τί λέγω ταῦτα; συνεφωνήθη πάσῃ σαρκὶ τὸ ἀσεβεῖν, διεφώνει δὲ μόνος Ἀβραὰμ τῇ θεομάχῳ συμφωνίᾳ, ἀλλ' ὅμως εἷς ὢν διὰ τὴν εὐσεβῆ διαφωνίαν θεοῦ φίλος ἐκλήθη καὶ ἔστιν, οἱ δὲ ἀλλότριοι καὶ τοῦ θεοῦ καὶ τῆς αὐτῶν σωτηρίας. Οὐ τοίνυν πρὸς τὴν συμφωνίαν ἁπλῶς δεῖ ὁρᾶν, ἀλλὰ πρὸς τὸ ἔργον δι' ὃ ἡ συμφωνία. Συνεφώνησε πᾶς ὁ λαός, ναὶ δὴ καὶ Ἀαρὼν ὁ τοῦ θεοῦ ἱερεὺς ἐπὶ τῷ μόσχῳ, ἀλλ' οὔτ' Ἀαρὼν διὰ τοῦτο ἀνέγκλητος καὶ ὁ λαὸς ἀπώλετο πεσόντων ἐν μιᾷ ἡμέρᾳ χιλιάδων εἴκοσι καὶ τριῶν. Συνεφωνήθη προσκυνῆσαι τῇ εἰκόνι πᾶσιν οἷς ἐθέσπιζε Ναβουχοδονόσορ, μόνοι δὲ οἱ τρεῖς διεφώνησαν παῖδες· ἀλλ' οἱ μὲν ὑπὸ θεῷ μάρτυρι διὰ τῆς παραδόξου σωτηρίας ἔτυχον θείας ἀποδοχῆς, τῶν δὲ ἀσεβῶν ἡ ὁμοφωνία στηλὶς ἀκατάλυτος καὶ σωρὸς καταγνώσεως.

XXI

Ὅτι τοὺς λέγοντας συμπαθῶς διατεθῆναι καὶ διὰ τοῦτο συνελθεῖν τῷ βουλήματι τῶν γεγαμηκότων ἐρωτητέον τίνος ἕνεκεν συνεπάθησαν. Εἰ μὲν διὰ θεόν, δέον καὶ τοῖς λοιποῖς συγχωρεῖν πρὸς τοιοῦτον γάμον βουλομένοις μεθίστασθαι, καὶ μᾶλλον τὸ συμπαθὲς ἐπιδείκνυσθαι πρὸς τοὺς ἀσθενεστέρους καὶ ὧν ἴσως ἡ ἀπορία τοῦ βίου ἔχει τινὰ πρὸς τὴν συμπάθειαν προσιόντα λόγον. Εἰ δὲ οὔ (καὶ γὰρ οὐκ ἂν τοῦτο φαῖεν), πῶς οὐ κατάκριτος καὶ ἡ συμπάθεια καὶ οἱ συμπαθοῦντες;

XX 4: cf. Basil., *Ep.* 217, can. 80, PG, 32, 805A15–B1. ‖ 8–9: Gen. 3:1–6. ‖ 9–10: Gen. 11:1–11. ‖ 10–11: Gen. 37:18–20. ‖ 14: Iac. 2:23. ‖ 17: Exod. 32:1–6. ‖ 18: Exod. 32:21. ‖ 18–19: Exod. 32:28. ‖ 20–22: Dan. 3. ‖ 22–23: cf. Ios. 7:26.

XX 2 ὅτι del.? ‖ 10 θεομαχία ἦν Karlin-Hayter: θεομαχίᾳ, ἦν m

XX

As for their absurd plea of unanimity (they claim that it was by a unanimous vote of themselves and of certain others, to whom they assign the decisive voice in their unanimous decision, that this marriage alien from mankind was declared acceptable), the answer should be that one must not obey a unanimous evil decision, but rather take a course of dissent that is free from evil. Indeed, from the beginning of things and down to this day, those who are unanimous in an evil purpose will find no excuse in this unanimity to escape condemnation. The first to be unanimous were the snake and Eve, and we all inherit the consequences as long as we live. There was unanimity in the building of the Tower, but that unanimity was war against God. Joseph's brothers were unanimous in their plot against him, but their unanimity was fratricidal. Why should I mention these cases? All mankind was unanimous in the matter of idolatry, and the only one to dissent from this unanimous alliance against God was Abraham; yet he alone because of his pious dissent received the name and rank of God's friend, whereas the others were alienated from God and from their own salvation. One should therefore not consider unanimity by itself, but in reference to the action for which unanimity exists. The whole people, and even Aaron, the priest of God, were unanimous with regard to the Calf, but in spite of this Aaron was called to account and the people perished, twenty-three thousand of them falling on one day. There was unanimous willingness to worship the image among all to whom Nebuchadnezzar issued his command, only the three young men dissented; but they, with God testifying for them, found divine approval in their miraculous rescue, while the consent of the impious became an everlasting pillory and a mound of condemnation.

XXI

Those who say that they were moved by compassion and therefore acceded to the wish of the married couple, should be asked what was the reason for their compassion. If it was for God's sake, permission must be given also to all others who wish to enter into such a marriage, and compassion should be shown in the first place to the weaker, whose needy condition perhaps provides some ground for acting in a spirit of compassion. If it was not for God's sake (and they cannot possibly say it was), it is clear that the sympathy and the sympathizers are jointly condemned.

XXII

Ὅτι ὁ περὶ τῆς ἀνθρωπίνης ζωῆς ὅρος οὐκ εἰς ἀνάγκην περιγράφεται, ὡς ἡ τῶν Ἑλλήνων εἱμαρμένη, ἀλλ' εἴς τε τὸν πλάστην ὁρᾷ καὶ τὴν ἑκάστου ἡμῶν προαίρεσιν, ὡς ἐξ ἀρχῆς ἐπὶ τῶν πρωτοπλάστων γέγονε. Καὶ γὰρ ἐπὶ ἐκείνων ὅρος ἐτέθη ἀθανασίας καὶ θνητότητος οὐκ ἐκ μόνου τοῦ θείου κελεύσματος, ἀλλ' ἐξ ἀμφοτέρων, τῆς θείας ἐντολῆς καὶ τῆς αὐτῶν προαιρέσεως. Ὅπη οὖν ὑπῆρξε τότε, καὶ νῦν τοῦτο ἐπὶ τῇ ἑκάστου γενέσει, κἂν μὴ τοῦ προστάγματος ἡ φανέρωσις γίνηται· ὁρίζεται μὲν τὰ τῆς ζωῆς ἡμῶν παρὰ τῷ θεῷ καθὼς πρὸς τὸ συμφέρον ἐστίν, ἡμῶν δὲ τῇ αὐτεξουσίῳ ῥοπῇ πρὸς τοῦτο ἢ πρὸς τὸ χεῖρον φερομένων κατὰ τὴν ἑκάστου προαίρεσιν καὶ ἡ θεϊκὴ συνένδοσις οὐχ ἁπλῶς ἀλλὰ δικαίως συνεπιρρέπει.

XXIII

Ὅτι τοῖς λέγουσι τὸ «πλέον τῆς πορνείας» πρὸς τὴν τριγαμίαν εἰρῆσθαι τῷ κανόνι οὐ μόνον συμβαίνει τὸ λῆρον, ἀλλὰ καὶ κατηγορεῖν τοῦ τὸν κανόνα ἐκτεθεικότος πατρός. Εἰ γὰρ καί, ὡς αὐτοί φασι, τὸν ἐπέκεινα τοῦ γ' γάμου πλέον ἔχειν εἰς πορνείαν φησὶν ὁ κανών, πῶς οὐχὶ ἑκόντες καὶ ἄκοντες τὴν κατηγορίαν ταύτην κατὰ τοῦ θείου παρέξονται Βασιλείου; Τίς γὰρ τῶν πάντων ἀνθρώπων ἠγνόηκεν ὡς τὰ τέσσαρα τοῦ τρίτου πλέον καὶ ὅτι ὁ τετράκις ἁμαρτήσας τοῦ τρίτον ἁμαρτάνοντος ἐπὶ τὸ πλέον ἐξήμαρτε, καὶ τότε τοῦ αὐτοῦ ἁμαρτήματος τὴν πρᾶξιν ἔχοντος; Οὐ τοίνυν ἔχει λόγον πρὸς τὴν τριγαμίαν ὁρῶντα τὸ «πλέον τῆς πορνείας» εἰπεῖν τὸν μέγαν ἀρχιερέα· τοῦτο γὰρ παντὶ γνώριμον καὶ οὐδεὶς οὐδὲ τῶν μεμηνότων εἰς χρείαν τοιαύτην καθέστηκε διδασκαλίας· ἀλλ' εἰς τὴν ἀπόλυτον καὶ ἀνειμένην πορνείαν ἔχει τὴν ἀναφορὰν ἡ τοῦ κανόνος ἐξήγησις, εἰ καὶ μὴ οὕτως δοκεῖ, οὐχ ὡς ἀγνοοῦσιν, ἀλλ' ὡς κακούργοις τοῖς πλέον εἰς ἀναισθησίαν τῶν μεμηνότων ἀποφερομένοις δι' ὧν ποιοῦνται τὴν περὶ τοῦ κανόνος ἐξήγησιν.

XXII 4-6: Gen. 2:16-17. || **XXIII** 1: Basil., *Ep.* 217, can. 80, PG, 32, 805B1-2.

XXII 3 καὶ Wk: ἢ m || **XXIII** 12 fort. τοιαύτης

XXII

The limit of human life is not determined by necessity, as the Greek doctrine of fate declares, but it depends, on the one hand, on the Creator, and on the other hand, on the freewill of each of us, just as it was originally, in the case of the first-created. For them, too, a limit was set for immortality and mortality, resting not only on the Divine Ordinance but on both, God's commandment and their own freewill. As it was then, so it is now at the moment of each man's birth, though the decree is not revealed: the course of our lives is determined by God for our good, and according as by voluntary inclination we tend either toward the good or toward the worse, Divine permission follows our trend, not arbitrarily, but justly.

XXIII

Those who maintain that in the canon "more than fornication" is said in reference to the third marriage, besides talking nonsense themselves, also accuse the Father who formulated the canon of doing so. If, indeed, according to them the canon says that the marriage after the third adds to the sin of fornication, are they not evidently exposing St. Basil to this charge, whether they intend to or not? Who on earth does not know that four is more than three, and that a man who sins four times has sinned more than the one who does so for the third time, provided the sin is the same? Consequently, it makes no sense to say that the great archpriest used the phrase "more than fornication" in view of the third marriage, since this is obvious to anyone and not even a madman needs that kind of instruction; rather, the canon should be interpreted with reference to unbounded and unrestrained fornication, though they refuse to recognize this, not because they do not know, but because they are quibblers who let themselves go beyond the obtuseness of madmen in their interpretation of the canon.

XXIV

Ὅτι πρὸς ὅ φασιν οὗτοι, ἀλλ᾽ οὐχ ὁ ἀπόστολος, «Κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι» (εἰ γὰρ καὶ τὰ αὐτὰ φθέγγονται, ἀλλ᾽ ἑτέρα μὲν ἡ τοῦ ἀποστόλου τῆς ἀληθείας φθογγή, ἑτέρα δὲ ἡ τῶν ἀπὸ τοῦ ψεύδους), φατέον ὡς «Εἰ παραμύθιον τοῦ πυροῦσθαι διδόατε τὴν πρὸς τετάρτην γυναῖκα συνάφειαν, δώσετε πάντως καὶ ἐπὶ πέμπτην καὶ ἕκτην καὶ ἐφεξῆς, μέχρις ἂν ἡ πύρωσις ἡ παρενοχλοῦσα στήσεται.» Οἱ δὲ οὐ μέχρι *** πάντως, μιᾷ κατὰ διαφόρους γάμους συνάπτεσθαι γυναικί, ἀλλὰ τὴν παραμυθίαν ταύτην πάντως καὶ γυναικὸς προσούσης διὰ τὴν πύρωσιν συγχωρήσουσιν, ὑπομένοντες οὐ μιᾷ γυναικί, ἀλλὰ κατὰ τὸ αὐτὸ δυσὶ καὶ τρισὶ καὶ πλείοσιν, ἂν οὕτω τύχοι. Πολλοὶ γὰρ γαμεταῖς συνοικοῦντες πρὸς μὲν τὰς ἰδίας ἔχουσιν ἀηδῶς, πρὸς δὲ τὰς ἀλλοτρίας πυροῦνται σφοδρῶς. Τί οὖν κωλύει τοὺς φιλανθρώπους τούτους νομοθέτας πλείοσι γυναιξὶ κατὰ τὸ αὐτὸ συναρμόζειν τοὺς πυρουμένους, καὶ ἀποπηδᾶν, ἂν οὕτως ἡ πύρωσις βιάζηται, τοῦ ἰδίου γαμετοῦ τὴν γυναῖκα, συνοικίζειν δὲ τῷ πυρουμένῳ;

XXV

Ὅτι πρὸς τοὺς λέγοντας «Ἐπὶ μόνου τοῦ βασιλέως συγκεχώρηται ἡ τετάρτη γαμετή, ἐπὶ δὲ τῶν λοιπῶν ἀπείρηται προσώπων καὶ νόμος φοβερὰν τὴν ἀπειλὴν ἔχων ἐκτέθειται» ἁρμόσει τὸ τοῦ ἀποστόλου «Λογίζῃ τοῦτο, ὦ ἄνθρωπε κενέ, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ;» ἔτι δὲ καὶ τὸ τοῦ κυρίου «Ἰατρέ, θεράπευσον ἑαυτόν,» καὶ «Ἔξελε τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου καὶ τότε βλέψεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.» Εἰ δὲ «ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ,» εἰ μὲν ὁ τὸν νόμον τιθεὶς τῆς τοῦ νόμου πεφρόντικε φυλακῆς, ἔσται καὶ αὐτὸς ὑπὸ τὸν νόμον καὶ ἀνάγκη ἀκούειν αὐτοῦ· εἰ δὲ πρῶτος αὐτὸς λῆρον τὸ τοῦ οἰκείου νόμου ἐπίταγμα ποιεῖται δι᾽ ὧν παρὰ φαῦλον ἔρριψε τὴν παραγγελίαν, πῶς οὐχὶ μᾶλλον πρὸς παράβασιν ἢ πρὸς συντήρησιν τοῦ νόμου προτρέπεται τοὺς ἀκροατάς;

XXIV 1–2: 1 Cor. 7:9. ‖ **XXV** 3–5: Rom. 2:3. ‖ 6: Luc. 4:23. ‖ 6–8: Matth. 7:5. ‖ 8–9: Rom. 3:19.

XXIV 7 lac. indic. wk, supple ex. gr. τούτου στήσονται

XXIV

The answer to *their* contention, *not* to the Apostle's words "It is better to marry than to burn" (for though the sounds are the same, the utterance of the apostle of truth is one thing, and that of the disciples of falsehood another), must be as follows: "If you allow the union with a fourth wife to relieve burning passion, you will necessarily also allow it for a fifth, a sixth, and so on, until the burning that troubles a man comes to an end." But surely they will not ⟨stop at allowing him⟩ to marry one wife in successive marriages; of course, they will grant such relief for his burning passion also when there is a wife available, permitting him to have, instead of one wife, two and three and more simultaneously, if things happen to be that way. Many married men, indeed, dislike their own wives, while burning with passion for those of others. So what prevents these humane lawgivers from marrying such cases of "burning" to several wives at a time, and from allowing the wife, if the burning passion demands this, to run away from her own husband and to live with her burning lover?

XXV

To those who declare, "The fourth wife is permitted only in the emperor's case, but forbidden to all other persons, and a law is in force which contains a fearful sanction," the Apostle's word is applicable: "Thinkest thou this, vain man, that judgest them which do such things, and doest the same, that thou shalt escape the judgment of God?" and also the Lord's "Physician, heal thyself" and "Cast out the beam out of thine own eye and then shalt thou see clearly to cast out the mote out of thy brother's eye." Now if "whatever the law says, it speaks to those who are under the law," the lawgiver, assuming that he cares for the observance of his law, will submit to the law himself and thus compel obedience; but if he is the first himself to make nonsense of what his own law prescribes by scorning its command, is it not evident that he encourages the public to transgress the law rather than to observe it?

XXVI

Ἔτι δὲ εἰ συγχωρεῖται τῷ βασιλεῖ ὁ γάμος, πάντως ἔσται καὶ τοῖς λοιποῖς βασιλεῦσι συγκεχωρημένος. Οὐ γὰρ δὴ τῷ μὲν διὰ τὴν βασιλείαν συγχωρηθήσεται, τοῖς δὲ οὐχί, ἀλλ' ὥσπερ ἔχουσι τὸ ἴσον τοῦ ἀξιώματος, οὕτω κληρονομήσουσι καὶ τῆς ἴσης ἐξουσίας περιστάσεως ὁμοίας συμπιπτούσης· τοῦτο δὲ πῶς ἂν ᾖ περιγραφόμενον ἐφ' ἑνὶ προσώπῳ καὶ οὐκ εἰς πλείονας διαβαῖνον; Ἀφ' ὧν ἀνάγκη ὥσπερ ἀπό τινων μετεώρων καὶ ὑψηλῶν χωρίων ῥεῦσαι ῥᾳδίως τὸ κακὸν ἐπὶ τοὺς ταπεινοτέρους. Καὶ ἄλλως δὲ τίς οὗτος ἕτοιμος πείθεσθαι νομοθεσίᾳ ἣν ὁρᾷ ὑπὸ τοῦ νομοθετοῦντος ὑβριζομένην, ὅπου γε μᾶλλον πέφυκε τὸ τῶν ἀνθρώπων ἀνάγωγον μηδὲ λίαν τιμωμένης ἐντολῆς ὑπὸ τοῦ ταύτην ἐντειλαμένου ἀσφαλῶς πρὸς αὐτὴν διατίθεσθαι; Καὶ ὅρα μοι τὰ θεῖα νομοθετήματα, τὰ τῶν θείων ἀποστόλων, τὰ τῶν πατέρων, ἃ πράξεσιν αὐτῶν μᾶλλον ἢ λόγοις νενομοθετημένα παραμελεῖται ὑπὸ τῆς ἐπὶ τὰ χείρω τῶν ἀνθρώπων ῥοπῆς.

XXVII

Ὅτι πρὸς τοὺς λέγοντας μὴ χρῆναι δι' ἕνα σφαλλόμενον ἀκριβολογεῖσθαι ῥητέον· δι' ἑνὸς ἀνθρώπου ἁμαρτίαν θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν καὶ οὐκ ἐφείσατο δὲ διὰ πταῖσμα ἑνὸς ὁ πλάστης καίτοι πταίσαντος ἅπαξ, ἀλλ' εἰς θάνατον παραδέδωκε.

XXVIII

Ἔτι δέ, τὸ τοῦ ἀποστόλου, «μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ»· ἐνταῦθα δὲ οὐ μικρὰ ζύμη, ἀλλ' ἡλίκον τὸ μέγεθος. Καὶ εἰ μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, τί ποιήσει τῆς τοιαύτης ζύμης ὁ ὄγκος;

XXIX

Ὅτι τὸ «Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος,» πῶς οὐκ ἔστι φρικτὸν ἀκοῦσαι, μὴ ὅτι γε πρᾶξαι τὴν λεγομένην τοῖς ἀθλίοις νυμφοστόλοις οἰκονομίαν;

XXVII 2–3: Rom. 5:12. ‖ **XXVIII** 1–2: 1 Cor. 5:6. ‖ **XXIX** 1–2: 1 Tim. 5:21.

XXVI 4–5 περιστάσεως corr. Karlin-Hayter: περὶ στάσεως m ‖ 8 fort. οὕτως

XXVI

Further, if the marriage is permitted to the emperor, it will inevitably be permitted also to other emperors. Surely it cannot be permitted to the one on the ground of his imperial dignity and refused to the others: as they hold equal rank, so they will also inherit equal freedom of action when a similar situation presents itself; and why should such a case be limited to one person and not extend to several? Then, necessarily, just as water flows down from elevated points high up in the mountains, the evil will spread unchecked to the lower classes. Besides, what man is willing to obey a legislation which he sees is despised by the lawgiver? On the contrary, man's unruly nature cannot be trusted to conform even to a command that is held in the highest honor by the one who gave it. Look at the Divine Commandments, those of the Holy Apostles, of the Fathers, which, though promulgated by their deeds rather than by their words, are slighted owing to man's bent toward the inferior.

XXVII

Against those who argue that we should not draw up strict rules on account of one man's error, we must say: By the sin of one man death has entered into the world, and for the sake of one man's fault the Creator did not spare it, though he sinned only once, but abandoned it to death.

XXVIII

Further, as the Apostle has it, "A little leaven leaveneth the whole lump"; but this is not a case of a little leaven, there is only too much of it! And if a little leaven leaveneth the whole lump, what will a mass like this do?

XXIX

Are not the words, "I charge thee before God and His elect angels that thou observe these things without preferring one before another," frightful even to hear? How much more frightful, then, to put into actual practice what these wretched matchmakers call dispensation!

200. The Tome of Union

A. Argument

Εἴδησις πῶς ἡ τετραγαμία τῷ βασιλεῖ κυρῷ Λέοντι τετόλμηται καὶ ὅπως κατήργηται διὰ τοῦ τόμου τῆς ἑνώσεως

Λέων ὁ σοφώτατος εἶχε μὲν πρώτην γαμετὴν τὴν ἁγίαν Θεοφανώ, μεθ' ἧς καὶ θυγατέρα ἔτεκεν· ἀλλὰ τάχιον ἐτεθνήκει. Καὶ αὐτῆς δὲ πρὸς κύριον ἀπελθούσης τῆς ἁγίας ζεύγνυται Ζωῇ τῇ θυγατρὶ τοῦ Τζαουτζᾶ Στυλιανοῦ, ἑνὸς τῶν ἀρχόντων καὶ φίλων τοῦ βασιλέως. Κἀκείνης συντόμως ἄπαιδος τελευτησάσης καὶ τρίτην ἠγάγετο γυναῖκα, Εὐδοκίαν, τὴν ἀπὸ τοῦ θέματος Ὀψικίου ἐπιλεγεῖσαν διὰ τὸ κάλλος, ἥτις ἐν αὐταῖς ταῖς ὠδῖσι θνῄσκει σὺν τῷ βρέφει. Ὁ δὲ βασιλεὺς ἀφάτῳ συσχεθεὶς λύπῃ ἐπὶ τῷ καταλειφθῆναι ἄπαις, ἐφέσει τεκνογονίας καὶ τετάρτην λαμβάνει γυναῖκα, τὴν τῆς Καρβωνοψίνης Ζωήν, καὶ τίκτει μετ' αὐτῆς τὸν Κωνσταντῖνον.

Ὁ πατριάρχης δὲ Νικόλαος καὶ οἱ μητροπολῖται ἀφορίζουσι τὸν βασιλέα τῆς ἐκκλησίας. Καὶ τὸν ἀφορισμὸν οἱ μέν τινες τῶν ἀρχιερέων συντεμεῖν ἔλεγον δεῖν καὶ μὴ ἐπὶ πλείονα παρατείνειν καιρόν, οἱ δὲ οὐκ ἐπείθοντο· καὶ σχίσματα ἦν ἐν αὐτοῖς καὶ στάσις πολλή. Καὶ πολλὰ δεόμενον τὸν βασιλέα καὶ παρακαλοῦντα οἱ μὲν προσεδέχοντο, οἱ δὲ ἀπειθεῖς ἦσαν καὶ ἄτεγκτοι. Ὁ δὲ βασιλεύς, συνετὸς ὢν καὶ ὅθεν ἀνεφύη τὸ ἀσύμφωνον τῶν ἀρχιερέων οὐκ ἀγνοῶν, μεθίστησι τὸν πατριάρχην Νικόλαον καὶ ἐξορίζει τῆς ἐκκλησίας, ὡς ψεύστην καὶ πολλάκις μὲν ὅρκοις διαβεβαιοῦντα καὶ ὑποσχόμενον δοῦναι τῷ βασιλεῖ τὴν τοῦ ἐπιτιμίου συμπάθειαν, τοσαυτάκις δὲ μεταμελόμενον καὶ ἀναβαλλόμενον ἐπίτηδες· προβάλλεται δὲ πατριάρχην τὸν ἑαυτοῦ πνευματικὸν πατέρα Εὐθύμιον, ἄνδρα πολλοῖς ἔτεσι τῇ μοναχικῇ διαπρέψαντα ἀσκήσει καὶ προφητικοῦ χαρίσματος ἠξιωμένον. Οὗτος ἐλεύθερον τοῦ ἐπιτιμίου δείκνυσι τὸν βασιλέα καὶ τοῦ χρονίου δεσμοῦ ἀπολύει καὶ εἰς κοινωνίαν δέχεται.

Ἀλλ' ἦσαν ἔτι πολλοὶ τῶν ἀρχιερέων οἱ μὴ συνελθόντες τῇ τοῦ πατριάρχου οἰκονομίᾳ, καὶ μᾶλλον οἱ τοῦ μέρους τοῦ ἐκβληθέντος Νικολάου. Ἐπεὶ δὲ ὁ μὲν βασιλεὺς Λέων μετέστη πρὸς κύριον καὶ ὁ ἀδελφὸς ἐκείνου Ἀλέξανδρος τῆς βασιλείας ἐγκρατὴς ἦν, τὸν μὲν πατριάρχην Εὐθύμιον

200 A: L 328^{v}–329^{r} H 374^{r-v} Z 27^{r-v} ‖ 1–2 περὶ συνόδου γεγονυίας ἐν κωνσταντινουπ(ό)λ(ει) εἰς τὴν μεγ(ά)λ(ην) ἐκκλησίαν· ἐπὶ κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ῥωμανοῦ, τοῦ μὲν βασιλεύοντος· τοῦ δὲ τοτηνικαῦτα ὄντος βασιλεωπάτ(ο)ρος· περὶ τῆς ἑνώσεως τῆς ἐκκλησίας H Σύνοδος ἑτέρα ἐπὶ κω(νσταντίνου) βασιλέως τοῦ α' πορφυρογεννήτου ἐπικληθ(έν)τος· υἱοῦ λέοντος βασιλέως τοῦ σοφοῦ· καὶ νικολ(άου) π(ατ)ριάρχ(ου) κω(νσταντινου)πόλ(εως)· ἀθροισθεῖσα ἐν ταύτῃ τῇ μεγ(ά)λ(ῃ) ἐκκλησ(ίᾳ) τῆς ἁγίας σοφίας· ἐπὶ τῇ ἑνώσει τῶν ἀποσχισθ(έν)των ἐπισκόπων· διὰ τὴν τετραγαμίαν τοῦ βασιλέως λέοντος· ἐν ἔτει τῷ ,ςυκη' μήπω βασιλεύσαντος ῥωμανοῦ τοῦ λακαπη(νοῦ)· ἀλλ' ἔτι τῷ βασιλεωπάτ(ο)ρ(ος) ἀξιώματι διαπρέποντος Z ‖ 3 σοφώτατος] βασιλεὺς add. HZ ‖ 5 τῆς ἁγίας om. H ‖ τζαουτζᾶ L: ζαούτζ( ) H -η Z ‖ 10 ἐν ἐφέσει H ‖ 17–18 τὸ ἀσύμφωνον ἀνεφύη colloc. HZ ‖ 20 ὑπισχνούμενον H

200. The Tome of Union

A. Argument

An account as to how the Emperor, Lord Leo, ventured upon the fourth marriage and how it was abolished by the Tome of Union

Leo the Most Wise had for his first consort Saint Theophano, who bore him a daughter; the child, however, died soon. When the Saint herself, too, had departed to the Lord, he wedded Zoe the daughter of Stylianus Tzaoutzas, one of the Emperor's magistrates and friends. When she also died childless after a short time, he married a third wife, Eudocia, from the theme of Opsikion, chosen because of her beauty; she died in childbirth with the baby. The Emperor, afflicted by inexpressible sorrow at being left without a son, was driven by his desire for a child to take a fourth wife, Zoe Carbonopsina, who bore him Constantine.

The Patriarch Nicholas, however, and the metropolitans excommunicated the Emperor. The excommunication, in the opinion of some of the archpriests, was to be brief and not to be extended over a longer period of time, while others did not share this view; and there were schisms between them and great discord. So when the Emperor begged and entreated them urgently, the one group was willing to admit him, the others refused and were adamant. Then the Emperor, intelligent enough to be aware of the origin of the dissension between the archpriests, removed the Patriarch Nicholas and banished him from the Church as a liar, who again and again assured and promised under oath to grant the Emperor indulgence of his penance, but as many times changed his mind and delayed intentionally; as patriarch he appointed his own spiritual father Euthymius, a man who had distinguished himself for many years as a monk and ascetic and had been deemed worthy of the gift of prophecy. He declared the Emperor free from the penance, released him from the long interdict, and admitted him to Communion.

However, there were still many of the archpriests who had not acceded to the Patriarch's dispensation, especially the party of the ex-Patriarch Nicholas. When the Emperor Leo had departed to the Lord and his brother Alexander held the imperial power, the latter expelled the Patriarch Euthymius ignominiously

ἐξωθεῖ τῆς ἐκκλησίας μεθ' ὕβρεων, ἀντεισάγει δὲ πάλιν τὸν προεκβεβλημένον Νικόλαον. Καὶ ἔτι μᾶλλον τὰ τῆς ἐκκλησίας ἐστασίαζε πράγματα, διαιρεθέντων τῶν μητροπολιτῶν, καὶ τῶν μὲν τῷ ἐκβληθέντι πατριάρχῃ, τῶν δὲ τῷ ἀντεισαχθέντι προσκειμένων.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ μὲν Ἀλέξανδρος ἐτεθνήκει, ὁ δὲ Κωνσταντῖνος τῆς βασιλείας κληρονόμος ἐγεγόνει. Ὃς συγκαλέσας τόν τε πατριάρχην Νικόλαον καὶ σύμπαντας τοὺς ἀρχιερεῖς (ὁ γὰρ Εὐθύμιος ἤδη πρὸς κύριον ἐξεδήμησε) πείθει τούτους πρὸς μίαν γνώμην συνελθεῖν καὶ ὁμόνοιαν, καὶ δοῦναι τῷ πατρὶ αὐτοῦ καὶ μετὰ θάνατον κοινῇ ψήφῳ τὴν ἄφεσιν, κανονικὴν δὲ ψῆφον ἐκθεῖναι τοῦ μηκέτι τολμᾶν τοιοῦτον ἢ πραχθῆναι ἁμάρτημα· ἐφ' οἷς ὁ λεγόμενος οὑτοσὶ τῆς ἑνώσεως τόμος προέβη.

B. Text

Ἔκθεσις ἤτοι ἀνάμνησις τῆς γενομένης τῆς ἐκκλησίας ἑνώσεως ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ, τοῦ μὲν βασιλεύοντος, τοῦ δὲ τὸ τηνικαῦτα τῷ τοῦ βασιλεοπάτορος ἀξιώματι διαπρέποντος

Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις καὶ τοῖς ὅσοι μετ' ἐκείνους ἄξιοι γεγόνασι τῆς κληρονομίας αὐτοῦ, ἐξαίρετόν τινα κλῆρον τὴν εἰρήνην κατέλιπε, τοῦτο γνώρισμα παρασχόμενος τοῖς οἰκείοις τῆς πρὸς αὐτὸν οἰκειότητος, εἰ τῷ συνδέσμῳ τῆς εἰρήνης σφιγγόμενοι μὴ τὴν τοῦ πνεύματος διασπῶσιν ἑνότητα· πρότερον αὐτὸς οἰκείῳ ὑποδείγματι δείξας

200 B: 7: Ioann. 14:27. ‖ 8–9: cf. Ioann. 13:35. ‖ 9–10: Ephes. 4:3.

30 μεθ' ὕβρεων ἐξωθεῖ τῆς ἐκκλησίας colloc. HZ ‖ 30–31 προεκβεβλημένον om. H ‖ 31 καὶ om. Z διὸ καὶ H ‖ 35 τῆς – ἐγεγόνει LZ: βασιλεύει H ‖ τε om. H ‖ 39 ψῆφον L: νομοθεσίαν HZ ‖ ἐκθεῖναι L: ἐκτιθέασι HZ ‖ τολμᾶν L: τολμηθῆναι HZ ‖ 39–40 ἢ πραχθῆναι om. H: ἢ om. Z ‖ 40 ἐφ' – προέβη L: ἢ καὶ ἔχει οὕτως H om. Z

200 B: J 265^{v}–267^{r} W 68^{r}–70^{r} G 230^{r}–232^{v} U 1^{r}–16^{v} N 201^{r}–203^{v} O 125–127 M 114^{r}–116^{v} P 39^{r}–40^{v} V 114–120 F 315^{v}–317^{v} S 186^{v}–188^{r} T 397^{v}–399^{r} L 329^{r}–330^{r} H 374^{v}–376^{v} Z 27^{v} ‖ ante 1 ἀναγινώσκετ(αι) ἡ σύνοδ(ος) αὕτη κυ(ριακῇ) τῆς ἑνώσεως G ἀναγινώσκ(ε)τ(αι) καὶ ἡ κειμ(έ)νη ἑξῆς ἕνωσις αὕτη κατὰ μῆ(να) ἰούλ(ιον) ἀπὸ τ(οῦ) ἁγ(ίου) προκ(ο)π(ίου) mg. N Ἡ σύνοδ(ος) τῆς ἑνώσεως· ἥτις ἀναγινώσκεται τῇ κυριακῇ τῶν προαλλάκτων O ‖ 1–4 om. HZ ‖ 1 ἤτοι ἀνάμνησις om. S ‖ τῆς^{2} – 2 ἑνώσεως] ἑνώσεως τῆς ἁγίας ἐκκλησίας S ‖ 3 τὸ τηνικαῦτα om. OT ‖ τῷ – 4 διαπρέποντος] τὸ τοῦ βασιλεοπάτορος ἀξίωμα ἔχοντος T ‖ τῷ] ante ἀξιώματι pon. S ‖ 4 βασιλεοπάτορος WGOMPST: βασιλεωπάτορος UL (cf. HZ ad Op. 200 A lin. 1–2) βασιλειοπάτορος J βασιλοπάτορος N ‖ 5 καὶ θεὸς] post κύριος pon. T om. S ‖ 6 ἐκείνους NOH^{pc}FST: ἐκεῖνον JGUVL ἐκείνων MPZ ‖ 7 αὐτῶν H ‖ κατέλιπε] hinc usque ad 53 συνα- deest U ‖ 8 τῆς οἰκείας S ‖ 9 δεσμῷ F ‖ σφιγγόμενοι] σφραγιζόμενοι FS ‖ 10 διασπῶσιν – 11 προαίρεσιν om. H ‖ 10 αὐτοῖς J

from the Church and reinstated Nicholas who had been removed from his office. Then the situation in the Church was even more turbulent, for the metropolitans were divided, some siding with the deposed Patriarch, some with the one that had replaced him.

Shortly after, Alexander died, and Constantine succeeded to the throne. Having convoked the Patriarch Nicholas and all the archpriests (Euthymius had meanwhile departed to the Lord), he persuaded them to join in one unanimous resolution, granting by common consent absolution to his Father even after death, but also passing a canonical decree to the effect that no one should dare to commit this sin again. On this understanding the present "Tome of Union" was issued.

B. Text

Decree or Record of the Union of the Church under Constantine and Romanus, the Former Being Emperor, the Latter at the Time Distinguished by the Rank of Basileopator

Our Lord and God Jesus Christ left to His disciples and apostles and to all those who after them were found worthy of guarding His inheritance, the gift of peace as a unique heritage, making this the mark whereby His own people should be recognized as belonging to Him, if they were tightly joined together by the bond of peace and never disrupted the unity of the Spirit. First, He showed us by His own example what value He sets upon

ἡμῖν ἣν ἔχει περὶ τῆς εἰρήνης προαίρεσιν, δι' ὧν ὑπεράνω παντὸς ὕψους τελῶν ἐπὶ τὴν ἐσχατιὰν κατῆλθε τὴν ἡμετέραν καὶ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος ἐκοινώνησεν, ἵνα τοὺς ἐξ ἀλλήλων διῃρημένους εἰς ἑνότητα καταστήσῃ· ἔπειτα καὶ τοῖς τὰ ἐκείνου μαθήματα πεπαιδευμένοις ταύτην κατέλιπε τὴν κληρονομίαν, τὸ εἰρηνεύειν ἐν ἀλλήλοις, καὶ οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ τὸ πρὸς εἰρήνην ἄγειν ἑτέρους πρὸς ἑαυτοὺς στασιάζοντας.

Ἀλλὰ γὰρ τοιούτου ὄντος τοῦ πράγματος, ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν οὐ διέλιπεν ἡ τοῦ πονηροῦ στασιώδης κακία τὸ ἱερὸν τῆς ἐκκλησίας διαταράττουσα πλήρωμα, νῦν μὲν ταύτην, νῦν δὲ ἐκείνην ἀνακινοῦσα τὴν πρόφασιν· ἀλλ' ὁ μὲν τοιοῦτος, ὁ δὲ τῆς εἰρήνης αἴτιος καὶ διδάσκαλος Χριστὸς ὁ θεὸς ἡμῶν, ὁ πύλας εἰπὼν ᾅδου μὴ κατισχύσειν τῆς ἐκκλησίας αὐτοῦ, ἀεὶ τὰ σκάνδαλα εἰς τὴν τοῦ πονηροῦ κεφαλὴν περιτρέπων τὴν εἰρήνην τῇ ἐκκλησίᾳ διαφυλάττει ἀλύμαντον. Οὗτος ἐκεῖνος, ἡ εἰρήνη ἡμῶν, Χριστὸς ὁ θεός, ὁ πατήρ, ὁ ἀρχιερεύς, ὁ ποιμὴν ὁ ἀληθινός, τῶν ἱερῶν τέκνων τῆς πανάγνου νύμφης αὐτοῦ τῆς ἐκκλησίας ἐξ ἀλλήλων διασπασθέντων, τῇ αὐτοῦ προνοίᾳ καὶ χάριτι τὴν ἕνωσιν αὐτοῖς κατεπράξατο καὶ τοῖς ἀχράντοις κόλποις πάλιν συνήγαγε τῆς μητρός, διδοὺς ἐκείνῃ μὲν χαίρειν ἐπὶ τῇ συναγωγῇ τῶν τέκνων, ἑαυτῷ δὲ τὴν ἐξ ἑνὸς στόματος καὶ μιᾶς καρδίας προσάγεσθαι τῆς δόξης ἀναφοράν, πᾶσι δὲ τοῖς ὅσοι μὴ πρὸς τὴν ταραχώδη τοῦ δαίμονος προαίρεσιν ἀποκλίνουσιν, ἀλλὰ τοῦ τῆς εἰρήνης αἰτίου τὸ παράγγελμα τιμῶσι, τὴν εὐχαριστίαν προσάγειν.

Ἀλλ' ἐπὶ μὲν τῶν ἄνω χρόνων ἐγένοντο σκανδάλων ἀφορμαί, ὁποῖαι δὴ καὶ γεγόνασι, καὶ πρὸς τὴν ἑκάστοτε κίνησιν τοῦ κακοῦ τοῖς σοφοῖς τῶν ἐκκλησιῶν οἰκονόμοις ἡ πρόσφορος ἐξεύρηται θεραπεία. Νῦν δέ, ὅτι συμβέβηκε τεταράχθαι τὴν ἐκκλησίαν ἐξ ἀφορμῆς γαμικῆς, ἐν τῷ μὴ τυγχάνειν τὸν γάμον ἐλεύθερον μέμψεως, πρὸς

22–23: Matth. 16:18. ‖ 25: Ephes. 2:14.

13 κεκοινώνηκεν S ‖ ἐξ] ἀπ' FS ‖ 15 παθήματα HZFS ‖ παιδευομένοις VT ‖ τὸ] τοῦ V ‖ 16 ἐν om. T ‖ τοσοῦτον WGNMPVS: τοῦτο JOFTLHZ ‖ 17 ἄγειν om. VT ‖ 18 γὰρ om. F ‖ τοῦ om. S ‖ 23 κατισχύειν OSL ‖ τὴν ἐκκλησίαν T ‖ 25 ἡμῶν] post θεός pon. FS om. VT ‖ 26 ὁ ἀληθινὸς ποιμὴν HZ ‖ 28 αὐτῆς WOM[pc] ‖ 29 πάλιν om. FS ‖ 30 δὲ] δὲ καὶ FS ‖ στόματος NOFSTLH: om. JWGMPVZ ‖ 32 προαίρεσιν τοῦ δαίμονος colloc. T ‖ 33 τιμῶσι] τολμῶσι HZ[ac] τιμῶσιν, ἀπὸ ψυχῆς S ‖ 35 ἄνω] ἄλλων F ‖ 37 τῆς ἐκκλησίας HZ ‖ 38 ὅτε H ‖ 39 γάμον] ἐκεῖνον add. S

peace by the fact that, though being above all that is high, He came down to our lowest depth and shared our flesh and blood so that He might establish unity among those who were divided from each other; then, to those instructed in His teachings, he left this as their inheritance, to live in peace with one another and, what is more, also to bring peace to others who are at strife.

However, this being so, the rebellious malice of the Evil One has never ceased, since the beginning and until this day, from disturbing the holy complement of the Church by stirring up now one occasion, then another. Such is his nature; but Christ our God, the Cause and Teacher of peace, Who has said that the gates of hell shall not prevail against His Church, always turns the machinations of the Evil One upon his own head and preserves the peace of the Church unscathed. It is He, our Peace, Christ our God, the Father, the High Priest, the True Shepherd, Who when the holy children of His most pure Bride the Church had been torn from each other, brought about their union by His Providence and Grace and gathered them together again in the immaculate bosom of their Mother, thereby granting that she might rejoice in the gathering of her children, that He Himself might receive the offering of praise from one mouth and one heart, and that all those who do not swerve toward the subversive purpose of the devil but honor the commandment of Him Who is the Cause of peace, might offer up thanksgiving to Him.

In the olden times there were various causes for scandals, whatever they may have been, and on each occasion when evil reared its head, the wise stewards of the Church found the appropriate cure. In the present case, since the disturbance in the Church is occasioned by a marriage, inasmuch as the marriage is not exempt from blame, the holy decree of the

τὴν ἐκείνου κώλυσιν ἡ τῆς ἐκκλησίας ἱερὰ κρίσις φέρει τὴν γνώμην καὶ τοῦ μὴ προέρχεσθαι τοῦτον ἔτι χώραν εὑρίσκειν. Οὕτω γὰρ καὶ νῦν καὶ μετέπειτα τῶν κατεχόντων σκανδάλων ἀπηλλάχθαι περιγενήσεται τοῖς ὅσοι μὴ τὸ φιλόνεικον καὶ τὴν ἔριν ἀντὶ τῆς εἰρήνης ἠγάπησαν τοῦ Χριστοῦ· τῆς γὰρ προφάσεως ἐκποδὼν γεγενημένης ἀφ' ἧς ἐξέφυ τὰ σκάνδαλα, τοῦ εἰρηνεύειν τοῖς ἀγαπῶσιν εἰρήνην οὐδεμία ἐστὶν ἡ κωλύουσα πρόφασις. Καὶ γὰρ ἐν παντὶ πράγματι οὕτως ἔχει· τῆς σφαλερᾶς αἰτίας τῆς τῶν ἀτόπων γενέσεως ἐκποδὼν καθισταμένης πρὸς τὴν ἐξ ἀρχῆς εὐταξίαν ἀποκαθίσταται τὰ τέως ἐκεῖθεν λαβόντα τὸ πονηρῶς διακεῖσθαι. Οὕτω καὶ σώματι νόσου προσγινομένης, τοῦ αἰτίου ταύτης ἀναχωρήσαντος τὸ ὑγιαίνειν ἐπανέρχεται, καὶ θαλάσσῃ ἐξ ἀνέμων βιαιότητος ταραττομένῃ, τῆς καταιγίδος πεπαυμένης ἡ γαληνιῶσα κατάστασις ἐπανήκει. Διὰ τοῦτο κοινῇ συναθροισθέντες ἀρχιερεῖς τε καὶ ἱερεῖς, ὅσοι μὴ ἑαυτοῖς (ἐῶ γὰρ εἰπεῖν ἄλλοις) ἀρέσκειν ἠγάπησαν, ἀλλὰ τῆς ἐκκλησίας τὴν εἰρήνην τοῦ στασιάζειν προετίμησαν, συνείδομεν, ἐπείπερ ἐκ τῶν γαμικῶν ἀφορμῶν τὰ σκάνδαλα τὴν γένεσιν ἔλαβε, ταῦτα διανακαθᾶραι, καὶ διασφαλίσασθαι τοῦ μηδαμῶς ἔτι διὰ τῆς αὐτῶν εἰς τὸν βίον προόδου μήτε τὴν ἐκκλησίαν ταράττειν μήτε τὴν ζωὴν τῶν οὕτω ζῆν ἑλομένων κατάκριτον καὶ κατεγνωσμένην ποιεῖν.

Καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει, ἀπό γε τοῦ παρόντος ἔτους, ὅ ἐστιν ἔτος ‚ϛυκη', ἰνδικτιῶνος η', τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς, καὶ τὸν εἴ τις ἐπὶ τοιοῦτον ἐλθεῖν συνοικέσιον προθυμηθείη, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμένοι τῷ συνοικεσίῳ. Τοῦτο μὲν

40 ἐκείνου] αὐτοῦ S ‖ τῆς ἐκκλησίας om. FS ‖ κρίσις] κλῆσις T ‖ γνώμην] συγγνώμην VT ‖ 41 τοῦ] τὸ FS ‖ ἔρχεσθαι F ‖ ἔτι] ἐπὶ S ‖ 42 καὶ om. HZ ‖ 42–43 παραγενήσεται H(?)Z ‖ 45 ἐξεφύη F ‖ τοῦ εἰρηνεύειν] post εἰρήνην pon. FS ‖ τὴν εἰρήνην VST ‖ 46 πρόφασις ἡ κωλύουσα colloc. S ‖ 46 κωλύσασα T ‖ 47 γενέτιδος S ‖ 48 καθισταμένης] γεγενημένης S γενομένης Z ‖ ἀποκαθίστασθαι FS ‖ 49 τὸ om. VT ‖ 50 προσγινομένης JGOMPFTZ: προσγενομένης WHL προσγεγενημένης S προγινομένης N ‖ 51 βιαιοτάτων OFSZ βιαιοτάτως H ‖ 52 παυσαμένης HZ ‖ 53 -θροισθέντες] hinc denuo U ‖ 54 εἰπεῖν] λέγειν SHZ ‖ 56 ἔλαβον FSTHZ ‖ 56–57 διακαθᾶραι FST ‖ 58 μήτε – ταράττειν om. T ‖ 60 λοιπὸν] γοῦν FS ‖ 61 ὅ] ὅπερ FS ‖ ἔτος JWUNMPVT: om. GOFSLHZ ‖ ἰνδικτιῶνος] def. X ‖ 62 μηδενὶ τολμᾶσθαι] μηδαμῶς τολμᾶσθαί τινι FS ‖ πανταχοῦ F πανταχῇ S ‖ τὸν] τῶν JM ‖ 63 συνοικέσιον ἐλθεῖν colloc. FS ‖ προθυμηθῇ S ‖ 64 ἐκκλησιαστικῆς συνάξεως colloc. F ‖ 65 ἐπιμένη T ‖ μὲν om. L

Church ordains its prevention, and that it shall not be allowed to take place again. Thus, now and henceforth, release from the prevailing scandals will be obtained by all who do not choose quarrel and strife above the peace of Christ; indeed, when the occasion that gave rise to the scandals has been removed, there is no reason for the peacefully minded not to live in peace. This is true in every situation: once the calamitous cause that produced the untoward events has been eliminated, the things that were adversely affected by it for a time are restored to their former normal state. Thus, when the body is affected by disease, health returns when the cause of the disease is gone; when the sea is troubled by the violence of winds, fair weather comes back after the storm is over. Therefore, we have gathered together archpriests and priests, all those who, rather than choosing to please themselves (not to speak of pleasing others), sought peace for the Church instead of strife, and, since the scandals originated in matters of marriage, we have decided on measures to clear them away and to provide safeguards that they will never again appear in our society either to trouble the Church or to make the lives of those who adopt such conduct subject to censure and condemnation.

So now we declare unanimously and by common consent that from this present year, which is the year 6428, in the eighth indiction, no one shall venture to contract a fourth marriage, but that it shall be utterly banned, and that anyone who should wish to enter into such a union shall be excluded from every religious congregation and even forbidden to enter the holy temple, as long as the union continues. This, in fact, is what the

γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε πατράσι· καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐνδηλοτέραν ποιοῦντες ὡς ἀλλότριον αὐτὸν τῆς Χριστιανικῆς πολιτείας ἀποκηρύττομεν.

Ἀλλ' οὕτω μὲν περὶ τοῦ τετάρτου γάμου. Ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ καὶ τοῦ τῶν Χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προαγωγήν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου ὥστε μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχεν ἐπιτελεῖσθαι αὐτόν. Καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὔπω τότε καθὼς νῦν γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως οὐδ' εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὸς ἐν γωνίᾳ παρίδοι πολλάκις κείμενον ῥύπασμα· νῦν δέ, ὅτι χώραν ἔλαβε παρρησίας καὶ ὡς οὐδὲν ἔχων εἰς ἀσχημοσύνην οὐδὲ ῥυπαίνων λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμόν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτόν, ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρερριμμένον, ἀλλ' ἐξηπλωμένον ἐπὶ τῆς οἰκίας, οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν.

Καὶ τῇ ἀνθρωπίνῃ τοίνυν συνυπείκοντες ἀσθενείᾳ καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ Χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν τριγάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε, εἴ τις πρὸς τεσσαρακοστὸν ἀναβεβηκὼς ἔτος καὶ μήτε τὴν φύσιν αἰδούμενος μήτε τῆς ὀφειλομένης Χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος πρὸς τρίτον ἑαυτὸν ἐπιρρίπτοι γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. Ὃς

73: Basil., *Ep.* 199, can. 50, PG, 32, 732C4–5.

66 ἔδοξεν ἁγίοις colloc. N ἔδοξεν ἁγιωτάτοις FS ‖ 67 ἐνδηλοτέραν (vel -ω-) JGUMPV: ἐκδηλοτέραν (vel -ω-) WNOFSTLHZ ‖ τῆς om. T ‖ 68 πολιτείας] καταστάσεως T ‖ ἀνακηρύττομεν L ‖ 69 τοῦ om. V ‖ Ἵνα — 72 γάμου] καὶ περὶ τοῦ τρίτου δὲ (τρίτου γάμου F) τάδε διοριζόμεθα FS ‖ 70 γάμων] huc des. Z ‖ 71 τοῦ om. V ‖ 71–72 γάμου ὁρίζομεν colloc. M ‖ 72 ἐπιτελεῖσθαι] γίνεσθαι T ‖ γὰρ om. T ‖ 73–74 τοῦ πράγματος γινομένου καθὼς νῦν colloc. T ‖ 74 γενομένου V ‖ 75 παραπεπτωκῶς NVL ‖ 75–76 πολλάκις ῥύπασμα παρίδοι κείμενον colloc. F ‖ πολλάκις παρίδοι colloc. S ‖ 76 κείμενον om. VT ‖ ὅτε SH ‖ 77 ὡς om. V ‖ ἔχον TH ‖ οὐδὲ] μηδὲ S ‖ ῥυπαῖνον TH ‖ 78 καλῶς] ἔχειν add. H ‖ ἀνακαθᾶραι H ‖ 79 καὶ om. H ‖ ἀλλ' ἐξηπλωμένον om. H ‖ 83 πρεπούσης] προσηκούσης FST ‖ τῇ] τῇ τῶν H ‖ 84 ὁρίζομεν WTL ‖ εἴ τις om. S ‖ 85 μήτε] μηκέτι H ‖ 86 τοῖς ὀφειλομένοις V ‖ χριστιανῆς M τοῖς χριστιανοῖς S ‖ 87 ποιούμενος] τιθέμενος WF θέμενος S ‖ ἀλλὰ] ἀλλ' ἀπὸ VT ‖ τῆς om. P ‖ γενόμενος WVPF ‖ 88 ἐπιρρίπτει TL ἐπιτρέποι FS ‖ 89 ἁγιάσματος T ‖ 90 καὶ — χρόνον om. L

Holy Fathers before us have also decreed; and we, too, making their view more explicit, excommunicate him as alien from the Christian polity.

So much for the fourth marriage. However, in order that other marriages as well may follow a stricter rule and not take place in a way unworthy of the life of Christians, we also decree with regard to the third marriage that it shall not be concluded indiscriminately or arbitrarily. It is true that it was permitted by the Fathers as a "defilement," because at that time the thing was not perpetrated unblushingly, as it is now, and had not spread widely, but could be overlooked as in a house one overlooks some dirt that has fallen in a corner. But now that it has come to be openly recognized and is regarded as having nothing shameful or defiling, because examples have multiplied, we have deemed it right to cleanse it, just as, when something indecorous is not lying unnoticed in a corner, but is spread all over the house, we do not leave it there, but clean it out and rid ourselves of the distaste it causes.

Accordingly, showing indulgence for human weakness on the one hand, and concern for the decency that befits the Christian life on the other, we decree that the following shall be observed in cases of third marriages. If a man who has reached his fortieth year abandons himself, without respect for nature or concern for the sober life that becomes a Christian, to his passionate desire and rushes into a third marriage, he shall, with the strictest observance, be excluded from Holy Communion for five years, and under no circumstances shall the term be shortened; for one who

γὰρ μετὰ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἶναι καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; Ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν Ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν ὅσον δυνατὸν ἀνακάθαρσιν. Ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα, ἐπεί, ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία· λίαν γάρ ἐστιν ἄδικον τῶν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς καὶ τὸ ἄλυπον καὶ ἀτάραχον, καὶ ὅσα οἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου τεκνώσεως.

Καὶ εἴ τις δὲ τριακονταέτης ὢν καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων τρίτῃ γυναικὶ συνάπτοιτο, καὶ οὗτος δὲ ἀσυγχωρήτως μέχρι τετάρτου ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔστω, διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου ἀλλ' ἢ ὑπ' ἀκρασίας κινούμενος καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. Καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπολαύσεως, ἅπαξ μὲν ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν Ἀναστάσει, δεύτερον δὲ ἐν τῇ Κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ τρίτον ἐν τῇ Γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν καὶ τὸ ἐκ ταύτης ὄφελος. Εἰ δὲ παῖδες μὴ

---

92 καὶ εἶναι καὶ FS ‖ πληροφορίαν παρέξει colloc. H ‖ 94 αὐτοῦ V ‖ 98 ὅσον – ἀνακάθαρσιν] κάθαρσιν κατὰ τὸ δυνατὸν H ‖ 99 παρῆν V ‖ τῶν om. F ‖ τὸ om. LH ‖ 100 προειρημένοις GV ‖ 101 τῶν JGUMP: τὸν WNFSHL τῶ V ‖ 103 καὶ[1]] τε καὶ H ‖ τὸ[2] om. FH ‖ 107 συνάπτοιτο γυναικὶ colloc. FSL ‖ δὲ om. S ‖ 107–108 ἀσυγχώρητος VTH ‖ 108 μέχρι τοῦ T ‖ 109 ἔσται F ‖ ἑτέρου om. T ‖ ὑπ'] ἐξ J ‖ 111 καὶ om. F ‖ 112 ἀπολαύσεως] μετοχῆς S ‖ ἅπαξ μὲν om. S ‖ μὲν om. L ‖ 113 *Ambros. B 107 sup.*, fol. 122[r] mg. inf.; *Brit. Mus. Addit. 28822,* fol. 4[v] mg. sup.: ἐκ τοῦ κατὰ λατίνων ἀντιρρητικοῦ λόγου νικολάου πατριάρχου κωνσταντινουπόλεως περὶ τῆς νηστείας τῆς τελουμένης πρὸ τῆς ἑορτῆς τῆς ὑπεραγίας θεοτόκου: Ἔτι καὶ ἑτέρα παρ' ἡμῖν νηστεία προηγουμένη τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου ἀπὸ τῆς πρώτης τοῦ αὐγούστου μηνὸς ἐναρχομένη, ἥτις ἐν τῇ περὶ τῆς ἑνώσεως ἁγία συνόδω μνημονεύεται (= *REB*, 28 [1970], 231, 20–23) ‖ δεύτερον δὲ] καὶ S ‖ δὲ om. F ‖ 114 τρίτον om. S ‖ 115 γενεθλίων J ‖ τοῦ χ(ριστο)ῦ καὶ JWGUNPVT: τοῦ κ(υρίο)υ καὶ M χ(ριστο)ῦ τοῦ FSLH ‖ ἡμῶν] ἰ(ησο)ῦ χ(ριστο)ῦ add. M ‖ καὶ[2] om. WTL

after his fortieth year is content for this defilement to exist in the Church of Christ and to be spoken of as such, what evidence can he give of moral earnestness, so that on this ground the term of his excommunication should be shortened? Indeed, even after he has been thought worthy to receive Holy Communion, he will not be allowed to do so except at the Feast of Salvation, the Resurrection of Christ our God, because he has then been purified, as far as possible, by the continence of the preceding days of Lent. We allow this, provided that those who marry a third wife, even after reaching forty, have no children from the previous marriages, for, if they do, the third marriage cannot be permitted; it is utterly unjust that we should indulge the untimely desire of these persons rather than safeguard the children of their earlier marriages from grief and turmoil and all the ills that beset mankind as a result of having children from different wives.

Even if a man of thirty, having children from his previous marriages, should wed a third wife, he shall without pardon be excluded from Holy Communion until the fourth year, since it is clear that it was from no other motive than incontinence and enslavement to carnal desire that he came to such a marriage; and even after he has been allowed to participate in the sacrament, he will be found worthy to partake of it only three times a year: once, at the Feast of Salvation, the Resurrection of Christ our God, a second time at the Dormition of our Immaculate Lady the Mother of God, and the third time on the Birthday of Christ our God, because of the fasts that have preceded these days also and the profit gained from them. In cases, however, where there are no children, since the desire for reproduc-

παρείησαν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται.

Ταῦτα μὲν καὶ περὶ τοῦ τρίτου γάμου. Οὐ μὴν οὐδὲ τὸν δεύτερον οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτως συνίστασθαι ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς ἢ ἐκ προηγησαμένης λαθρίου φθορᾶς, ἀλλὰ νομίμως καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων καὶ πορνικῆς ἀκαθαρσίας. Εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθοι, τοῦτον ἡ τοῦ Χριστοῦ ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπῖλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς, οὐ πρὶν εἰς μετάληψιν τῶν θείων παραδέξεται μυστηρίων ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον ἀκριβῶς αὐτοὺς ἐκπληρῶσαι (εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγοι ἀναχώρησις), τουτέστι, μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. Ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν, δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας πάλιν εἰς τὸ ἀκοινώνητον περιϊσταμένου μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους.

C. Appendix

Ἀλλὰ ταῦτα μέν, ὡς δεδήλωται, ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν. Νῦν δὲ τῇ τοῦ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος εὐδοκίᾳ καὶ χάριτι καὶ ταῖς τῆς πανάγνου καὶ θεομήτορος καὶ τοῦ μεγάλου

---

200 B: 127: Ephes. 5:27.

---

117 τὸ[1] om. H τὸ τῆς V ‖ τὸ[2] om. T ‖ 118 ὁ] καὶ ὁ H ‖ 119 κρατήσαντι καὶ μέχρι τοῦ νῦν colloc. FST ‖ κρατήσαντι] καταντήσαντι H ‖ 120 τοῦ om. V ‖ 121 κἀκείνοις V ‖ 122 πονηρὰν om. H ‖ 123 ἢ[1] om. F ‖ λαθρίου JWGUNV: λαθραίου STL λάθρου M λαθραίας H ‖ νομίμους FH ‖ 125 τύπων om. T ‖ 126 ὁμιλίαν] συνάφειαν T ‖ 127 σωτηρίας S ‖ 129 ὡρισμένον] εἰρημένον T ‖ αὐτοὺς GUNMPFSLH: αὐτὸν J om. WVT ‖ 130 κατεπείγει S ‖ 131 τουτέστι om. FS ‖ post ἂν] δηλονότι add. FS ‖ ἐκπληρωθείη FS πληρωθ(ῇ) H ‖ 132 διατεταγμένον L τετυπωμένον H ‖ 132–133 καταξιῶσαι F ‖ 133 κινδυνεύει H ‖ 134 τόπον S ‖ τὸ] τὸν S ‖ 135 ἔτους] φυλαττομένου δηλονότι τοῦ ἐνιαυσιαίου ἐπιτιμίου ἐλθεῖν πάντως τινὰ ἐπὶ διγαμίαν, ἔστι νοῆσαι τοὺς π(ατέ)ρας τούτους ὁρίσαι add. T

200 C: N 203^{v} O 126–127 M 116^{v} P 40^{v} F 317^{v}–318^{r} S 188^{r-v} T 399^{r} L 330^{r} ‖ 1 ταῦτα] τὰ FS ‖ 2 πατρὸς] θ(εο)ῦ καὶ π(ατ)ρ(ὸ)ς εὐδοκία S ‖ καὶ[1]] καὶ τοῦ P καὶ τῇ τοῦ μονογενοῦς S ‖ καὶ[2]] καὶ τοῦ PS ‖ 2 ἁγίου — 3 χάριτι] εὐδοκία καὶ χάριτι καὶ τοῦ ἁγίου πν(εύματο)ς F ‖ 2 ἁγίου] καὶ ζωοποιοῦ add. S ‖ 3 καὶ[3] om. FS

tion is not unforgivable, such a marriage will be granted forgiveness, and it will be redressed only by the traditional penance that has been valid until now.

So much for the third marriage. We, however, do not leave even the second or the first without a safeguard, but we decree that these, too, be brought to pass in such a way that they have no evil cause, either abduction or previous secret corruption, but that they be contracted lawfully and free from such stains as these and from the impurity of fornication. If, then, any one should enter upon a first or second union in contempt of the aforesaid rules, the Church of God, the Pure One without a spot or wrinkle, will subject him to salutary trials and not admit him to participation in the Divine Sacrament until he has completed to the full the time decreed for fornication (unless, perchance, the inevitable end of this life should be close at hand), that is to say, until the completion of the seventh year. The priest who, in defiance of the decree laid down here, should presume to admit any one of these to Holy Communion, will be liable to be deprived of his rank, it being understood that the person admitted to Holy Communion in contravention of the rule here decreed shall be excommunicated anew until the completion of the seventh year.

C. Appendix

These things, as expounded, were enacted by the former emperors. Now, however, by the favor and grace of the Father and the Son and the Holy Spirit and by the intercession of the Most Pure Virgin and Mother of God and of the Great

ἀρχιστρατήγου πρεσβείαις τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀπορραγέντας ἱερεῖς καὶ μονάζοντας ἡ παγγάληνος βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν Βασιλείου καὶ Κωνσταντίνου συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἰργάσατο· ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας.

D. Acclamations

I

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Ῥωμανοῦ, Χριστοφόρου, Κωνσταντίνου, Στεφάνου καὶ Κωνσταντίνου, μεγάλων βασιλέων καὶ αὐτοκρατόρων, πολλὰ τὰ ἔτη.

Μιχαὴλ τοῦ Πορφυρογεννήτου, πολλὰ ⟨τὰ ἔτη⟩.

Σοφίας καὶ Ἑλένης τῶν εὐσεβεστάτων αὐγουστῶν, πολλὰ τὰ ἔτη.

Λέοντος καὶ Ἀλεξάνδρου τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Νικολάου τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, αἰωνία ἡ μνήμη.

Στεφάνου τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, αἰωνία ἡ μνήμη.

Τρύφωνος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, πολλὰ τὰ ἔτη.

Θεοφυλάκτου τοῦ θεοφιλεστάτου ὑποδιακόνου καὶ συγκέλλου, πολλὰ ⟨τὰ ἔτη⟩.

II

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ καὶ Νικηφόρου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου, Εὐθυμίου, Στεφάνου, Τρύφωνος καὶ Θεοφυλάκτου, τῶν ἁγιωτάτων καὶ ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Πολυεύκτου τοῦ τρισμακαρίστου καὶ ὡς ἀληθῶς ἁγιωτάτου πατριάρχου, αἰωνία ἡ μνήμη.

4 χρόνων] ἐτῶν F ‖ 6 ἡμῶν βασιλέων colloc. FS ‖ 8 ὅθεν] καὶ add. S ‖ 9 τὸ τοιοῦτον L ‖ πεποιηκότας S

200 D I: J 267r ‖ 5 αὐγούστων J

200 D II: W 70r

Commander of the Heavenly Host, the Most Serene Majesty of our God-crowned Emperors Basil and Constantine has joined and united to us those priests and monks who for as many as ninety years had been separated from us by the aforesaid cause and occasion, and has made us one Catholic and Apostolic Church; so that it is meet to proclaim and magnify those who have achieved so godly and momentous a work.

D. Acclamations

I

Long live the Emperors!

Romanus, Christopher, Constantine, Stephen and Constantine, great Emperors and Sovereigns–long may they live!

Michael the Porphyrogennetus–long may he live!

Sophia and Helen, the most pious Augustas–long may they live!

Leo and Alexander, who have passed from the earthly to the heavenly Kingdom–eternal their memory!

Nicholas the most holy and illustrious Patriarch–eternal his memory!

Stephen the most holy and illustrious Patriarch–eternal his memory!

Tryphon the most holy Ecumenical Patriarch–long may he live!

Theophylact, the most pious Subdeacon and Syncellus–long may he live!

II

Long live the Emperors!

Basil and Constantine, Leo and Alexander, Christopher and Romanus, Constantine, Romanus and Nicephorus, who have passed from the earthly to the heavenly Kingdom–eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs–eternal their memory!

Ignatius, Photius, Stephen and Anthony, Nicholas, Euthymius, Stephen, Tryphon and Theophylact, the most holy and Orthodox Patriarchs–eternal their memory!

Polyeuctus, the thrice-blessed and truly most holy Patriarch–eternal his memory!

III

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Βασιλείου καὶ Κωνσταντίνου, τῶν ὀρθοδόξων ἡμῶν βασιλέων, πολλὰ τὰ ἔτη.

Θεοφανοῦς τῆς εὐσεβεστάτης αὐγούστης, πολλὰ τὰ ἔτη.

Νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, πολλὰ τὰ ἔτη.

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου καὶ Ἰωάννου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου καὶ Ἀντωνίου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

IV

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Τοῦ ὀρθοδόξου ἡμῶν βασιλέως, πολλὰ τὰ ἔτη.

Τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, πολλὰ τὰ ἔτη.

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου, Ἰωάννου καὶ Βασιλείου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, Θεοφανοῦς καὶ Θεοδώρας, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου, Νικολάου, Σισιννίου, Σεργίου καὶ Εὐσταθίου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

---

200 D III: V 120

200 D IV: N 203^{v}–204^{r} ‖ 13 πολυέκτου N

III

Long live the Emperors!

Basil and Constantine, our Orthodox Emperors–long may they live!

The most pious Augusta Theophano–long may she live!

Nicholas, the most holy and Ecumenical Patriarch–long may he live!

Basil and Constantine, Leo and Alexander, Christopher and Romanus, Constantine, Romanus, Nicephorus and John, who have passed from the earthly to the heavenly Kingdom–eternal their memory!

Eudocia and Theophano, Theodora and Helen, the most pious Augustas–eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs–eternal their memory!

Ignatius, Photius, Stephen and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon, Theophylact, Polyeuctus and Anthony, the Orthodox Patriarchs–eternal their memory!

IV

Long live the Emperors!

Our Orthodox Emperor–long may he live!

The most holy and Ecumenical Patriarch–long may he live!

Basil and Constantine, Leo and Alexander, Christopher and Romanus, Constantine, Romanus, Nicephorus, John and Basil, who have passed from the earthly to the heavenly Kingdom–eternal their memory!

Eudocia and Theophano, Theodora and Helen, Theophano and Theodora, the most pious Augustas–eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs–eternal their memory!

Ignatius, Photius, Stephen and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon, Theophylact, Polyeuctus, Anthony, Nicholas, Sisinnius, Sergius and Eustathius, the Orthodox Patriarchs–eternal their memory!

V

Πολλὰ τὰ ἔτη τῶν βασιλέων· καὶ λέγει τὸν κατὰ τὸν καιρὸν αὐτὸν βασιλεύοντα, καὶ πάλιν ἄρχεται·

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου, Ἰωάννου, Βασιλείου, Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαήλ, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας, Ἑλένης καὶ Θεοφανοῦς, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Χριστοφόρου, Θεοδώρου, Ἀγαπίου, Ἰωάννου, Νικολάου, Ἡλιοῦ καὶ Θεοδώρου, τῶν ἁγιωτάτων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου καὶ Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος καὶ Θεοφυλάκτου, Πολυεύκτου καὶ Ἀντωνίου, Νικολάου, Σισιννίου, Σεργίου, Εὐσταθίου καὶ Ἀλεξίου, τῶν ὀρθοδόξων πατριαρχῶν Κωνσταντινουπόλεως, αἰωνία ἡ μνήμη.

VI

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Κωνσταντίνου καὶ Θεοδώρας, τῶν ὀρθοδόξων ἡμῶν βασιλέων, πολλὰ τὰ ἔτη.

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου καὶ Ἰωάννου, Βασιλείου, Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαήλ, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας, Ἑλένης, Θεοφανοῦς καὶ Ζωῆς, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Σωφρονίου τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου, πολλὰ τὰ ἔτη.

Χριστοφόρου, Θεοδώρου, Ἀγαπίου καὶ Ἰωάννου, Νικολάου, Ἡλιοῦ, Θεοδώρου καὶ Βασιλείου, τῶν ἁγιωτάτων πατριαρχῶν Ἀντιοχείας, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος καὶ Θεοφυλάκτου, Πολυεύκτου καὶ Ἀντωνίου, Νικολάου, Σισιννίου, Σεργίου, Εὐσταθίου καὶ Ἀλεξίου, τῶν ὀρθοδόξων πατριαρχῶν Κωνσταντινουπόλεως, αἰωνία ἡ μνήμη.

Ἡ ἁγία τριὰς αὐτοὺς ἐδόξασεν.

---

200 D V: G 232^v ‖ 8 εὐβεστάτων G ‖ 9 Ἰωάννου mg. add. G
200 D VI: U 16^v–19^v ‖ 14 ταρασσίου Θ

V

Long live the Emperors! (Then, after mentioning the reigning Emperor, he recommences:)

Basil and Constantine, Leo and Alexander, Christopher and Romanus, Constantine, Romanus, Nicephorus, John, Basil, Constantine, Romanus and Michael, who have passed from the earthly to the heavenly Kingdom—eternal their memory!

Eudocia and Theophano, Theodora, Helen and Theophano, the most pious Augustas—eternal their memory!

Christopher, Theodore, Agapius, John, Nicholas, Elias and Theodore, the most holy Patriarchs—eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs—eternal their memory!

Ignatius and Photius, Stephen and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon and Theophylact, Polyeuctus and Anthony, Nicholas, Sisinnius, Sergius, Eustathius and Alexius, the Orthodox Patriarchs of Constantinople—eternal their memory!

VI

Long live the Emperors!

Constantine and Theodora, our Orthodox Emperors—long may they live!

Basil and Constantine, Leo and Alexander, Christopher and Romanus, Constantine, Romanus, Nicephorus and John, Basil, Constantine, Romanus and Michael, who have passed from the earthly to the heavenly Kingdom—eternal their memory!

Eudocia and Theophano, Theodora, Helen, Theophano and Zoe, the most pious Augustas—eternal their memory!

Sophronius, our most holy Patriarch—long may he live!

Christopher, Theodore, Agapius and John, Nicholas, Elias, Theodore and Basil, the most holy Patriarchs of Antioch—eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs—eternal their memory!

Ignatius, Photius, Stephen and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon and Theophylact, Polyeuctus and Anthony, Nicholas, Sisinnius, Sergius, Eustathius and Alexius, the Orthodox Patriarchs of Constantinople—eternal their memory!

The Holy Trinity has glorified them.

VII

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Βασιλείου, Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου, Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου καὶ Ἰωάννου, ⟨Βασιλείου⟩ καὶ Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαήλ, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, Θεοφανοῦς καὶ Θεοδώρας, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Ζωῆς τῆς εὐσεβεστάτης αὐγούστης καὶ τρισμακαρίστου, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου, Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου καὶ Νικολάου καὶ Σισιννίου, Σεργίου, Εὐσταθίου καὶ Ἀλεξίου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

VIII

Πολλὰ τὰ ἔτη τῶν βασιλέων· καὶ εὐθὺς ἡ συνήθης φήμη τῶν βασιλέων καὶ τοῦ ἀρχιερέως.

Κωνσταντίνου τοῦ ὀρθοδόξου ἡμῶν βασιλέως, αἰωνία ἡ μνήμη.

Εὐδοκίας τῆς ὀρθοδόξου ἡμῶν βασιλίσσης, αἰωνία ἡ μνήμη.

Κωνσταντίνου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, αἰωνία ἡ μνήμη.

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου καὶ Ἰωάννου, Βασιλείου καὶ Κωνσταντίνου, Ῥωμανοῦ, Μιχαὴλ καὶ Κωνσταντίνου, Μιχαὴλ καὶ Ἰσαακίου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

---

200 D VII: P 40ᵛ–41ʳ Q 39–40 ‖ 3 Κωνσταντίνου] bis P ‖ Βασιλείου addidi ‖ 4 καὶ[1] om. P ‖ post Μιχαήλ] κωνσταντ(ῖ)ν(ου)· μιχαὴλ· ἰσαακίου· κωνσταντ(ῖ)ν(ου)· ῥωμανοῦ· μιχαὴλ· νικηφόρου· καὶ ἀλεξίου mg. superiore add. Q ‖ 7 post Θεοδώρας] ζωῆς· θεοδώρας· αἰκατερίνης· εὐδοκίας· μαρίας καὶ εἰρήνης mg. add. Q ‖ 13 καὶ om. Q ‖ 14 post Ἀλεξίου] μιχαὴλ· κωνσταντ(ῖ)ν(ου)· ἰω(άννου)· κοσμᾶ· εὐστρατίου· καὶ νικολάου mg. add. Q

200 D VIII: R 387ᵛ–388ʳ Y 270ᵛ–271ʳ ‖ 1 ἡ – 2 ἀρχιερέως R: τοὺς βασιλεῖς πάντας· εἶτ(α) τὸν π(ατ)ριάρχ(ην) καὶ τὸν μ(ητ)ροπολίτην· καὶ πάλιν ὕστερον. πολλὰ τὰ ἔτη τῶν βασιλέων Y ‖ 4 ἡμῶν om. Y ‖ 6, 11, 13 post μνήμη] γ̄ add. Y ‖ 8 κωνσταντίνου καὶ Y ‖ 9 καὶ[2] – Μιχαὴλ[2] om. Y

VII

Long live the Emperors!

Basil, Constantine, Leo and Alexander, Christopher, Romanus, Constantine, Romanus, Nicephorus and John, ⟨Basil⟩ and Constantine, Romanus and Michael, who have passed from the earthly to the heavenly Kingdom—eternal their memory!

Eudocia and Theophano, Theodora and Helen, Theophano and Theodora, the most pious Augustas—eternal their memory!

Zoe, the most pious and thrice-blessed Augusta—eternal her memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs—eternal their memory!

Ignatius, Photius, Stephen and Anthony, Nicholas, Euthymius, Stephen, Tryphon, Theophylact, Polyeuctus, Anthony and Nicholas and Sisinnius, Sergius, Eustathius and Alexius, the Orthodox Patriarchs—eternal their memory!

VIII

Long live the Emperors! (Next, the usual acclamation of the Emperors and the Archpriest.)

Constantine, our Orthodox Emperor—eternal his memory!

Eudocia, our Orthodox Empress—eternal her memory!

Constantine, the most holy and Ecumenical Patriarch—eternal his memory!

Basil and Constantine, Leo and Alexander, Christopher and Romanus, Constantine and Romanus, Nicephorus and John, Basil and Constantine, Romanus, Michael and Constantine, Michael and Isaac, who have passed from the earthly to the heavenly Kingdom—eternal their memory!

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, Θεοφανοῦς καὶ Θεοδώρας, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Ζωῆς, Θεοδώρας καὶ Αἰκατερίνης, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου, Νικολάου καὶ Σισιννίου, Σεργίου, Εὐσταθίου, Ἀλεξίου καὶ Μιχαὴλ τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

IX

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Βασιλείου, Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου, Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου καὶ Ἰωάννου, Βασιλείου καὶ Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαήλ, Κωνσταντίνου, Μιχαήλ, Ἰσαακίου, Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαήλ, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, Θεοφανοῦς καὶ Θεοδώρας, Ζωῆς καὶ Θεοδώρας, Αἰκατερίνης, Εὐδοκίας, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου, Νικολάου, Σισιννίου, Σεργίου, Εὐσταθίου, Ἀλεξίου, Μιχαήλ, Κωνσταντίνου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

X

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Βασιλείου, Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου, Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου, Ἰωάννου, Βασιλείου καὶ Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαήλ, Κωνσταντίνου, Μιχαήλ, Ἰσαακίου,

---

14 ζωῆς καὶ Y ‖ 15, 17 ἡ μνήμη γ̄ Y: om. R ‖ 16–17 καὶ μακαρίων om. Y ‖ 19 καὶ om. Y ‖ 21 post μνήμη] αἰωνία ἡ μνήμ(η). αἰων(ία) ἡ μνήμ(η)· γ̄ add. Y

200 D IX: O 128 ‖ 7 θεοφανῶ (bis) O ‖ 9 αὐγούστων O ‖ 13 σισινίου O ‖ 14 Κωνσταντίνου] add. Ἰωάννου?

200 D X: X 89[r-v]

Eudocia and Theophano, Theodora and Helen, Theophano and Theodora, the most pious Augustas—eternal their memory!

Zoe and Theodora and Aecaterina, the most pious Augustas—eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious Patriarchs—eternal their memory!

Ignatius, Photios, Stephen and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon, Theophylact, Polyeuctus, Anthony, Nicholas and Sisinnius, Sergius, Eustathius, Alexius and Michael, the Orthodox Patriarchs—eternal their memory!

IX

Long live the Emperors!

Basil, Constantine, Leo and Alexander, Christopher, Romanus, Constantine, Romanus, Nicephorus and John, Basil and Constantine, Romanus and Michael, Constantine, Michael, Isaac, Constantine, Romanus and Michael, who have passed from the earthly to the heavenly Kingdom—eternal their memory!

Eudocia and Theophano, Theodora and Helen, Theophano and Theodora, Zoe and Theodora, Aecaterina, Eudocia, the most pious Augustas—eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs—eternal their memory!

Ignatius, Photius and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon, Theophylact, Polyeuctus, Anthony, Nicholas, Sisinnius, Sergius, Eustathius, Alexius, Michael, Constantine, the Orthodox Patriarchs—eternal their memory!

X

Long live the Emperors!

Basil, Constantine, Leo and Alexander, Christopher, Romanus, Constantine, Romanus, Nicephorus, John, Basil and Constantine, Romanus and Michael, Constantine, Michael, Isaac, Constantine, Romanus, Michael, Nicephorus and Isaac,

Κωνσταντίνου, Ῥωμανοῦ, Μιχαήλ, Νικηφόρου καὶ Ἰσαακίου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, Θεοφανοῦς καὶ Θεοδώρας, Ζωῆς, Θεοδώρας, Ἑκατερίνης καὶ Εὐδοκίας, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος καὶ Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου, Νικολάου, Σισιννίου, Σεργίου, Εὐσταθίου, Ἀλεξίου, Μιχαήλ, Κωνσταντίνου, Ἰωάννου, Κοσμᾶ καὶ Εὐστρατίου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

XI

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.
Ὁ δεῖνα τοῦ ὀρθοδόξου ἡμῶν βασιλέως.
Ὁ δεῖνα τῆς ὀρθοδόξου ἡμῶν βασιλίσσης.
Ὁ δεῖνα τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ.
Ὁ δεῖνα τοῦ εὐτυχεστάτου καίσαρος.

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου, Ῥωμανοῦ, Νικηφόρου καὶ Ἰωάννου, Βασιλείου ⟨καὶ Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαήλ, Κωνσταντίνου, Μιχαήλ, Ἰσαακίου, Κωνσταντίνου, Ῥωμανοῦ, Ἀνδρονίκου, Μιχαήλ, Νικηφόρου καὶ Ἰσαακίου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, Θεοφανοῦς, Θεοδώρας, Ζωῆς, Θεοδώρας, Αἰκατερίνης, Εὐδοκίας καὶ Μαρίας, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου, Νικολάου, Σισιννίου, Σεργίου, Εὐσταθίου, Ἀλεξίου, Μιχαήλ, Κωνσταντίνου, Ἰωάννου, Κοσμᾶ, Εὐστρατίου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία.

Χριστοφόρου, Θεοδώρου, Ἀγαπίου καὶ Ἰωάννου, Νικολάου καὶ Ἡλιοῦ, Θεοδώρου, Βασιλείου, Πέτρου, Θεοδοσίου καὶ Νικηφόρου καὶ Ἰωάννου, τῶν ἀοιδίμων πατριαρχῶν Ἀντιοχείας, αἰωνία ἡ μνήμη.⟩

---

7 ϑεοφανὼ (bis) X

200 D XI: K 335r ‖ 8 καὶ[1] – 23 μνήμη] deperdita in K supplevi ex *Synod. Orthod.*, K 334v–335r ‖ 14 αὐγούστων K ‖ 19 εὐσταϑίου ἀλεξίου ins. K[2] ‖ 22 καὶ ἰω(άννου) ins. K[2]

who have passed from the earthly to the heavenly Kingdom–eternal their memory!

Eudocia and Theophano, Theodora and Helen, Theophano and Theodora, Zoe, Theodora, Ecaterina and Eudocia, the most pious Augustas–eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious and blessed Patriarchs–eternal their memory!

Ignatius, Photius, Stephen and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon and Theophylact, Polyeuctus, Anthony, Nicholas, Sisinnius, Sergius, Eustathius, Alexius, Michael, Constantine, John, Cosmas and Eustratius, the Orthodox Patriarchs–eternal their memory!

XI

Long live the Emperors!
N. our Orthodox Emperor.
N. our Orthodox Empress.
N. the most holy and Ecumenical ⟨Patriarch⟩.
N. the most fortunate Caesar.

Basil and Constantine, Leo and Alexander, Christopher and Romanus, Constantine, Romanus, Nicephorus and John, Basil ⟨and Constantine, Romanus and Michael, Constantine, Michael, Isaac, Constantine, Romanus, Andronicus, Michael, Nicephorus and Isaac, who have passed from the earthly to the heavenly Kingdom–eternal their memory!

Eudocia and Theophano, Theodora and Helen, Theophano, Theodora, Zoe, Theodora, Aecaterina, Eudocia and Mary, the most pious Augustas–eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious Patriarchs–eternal their memory!

Ignatius, Photius, Stephen and Anthony, Nicholas and Euthymius, Stephen, Tryphon, Theophylact, Polyeuctus, Anthony, Nicholas, Sisinnius, Sergius, Eustathius, Alexius, Michael, Constantine, John, Cosmas, Eustratius, the Orthodox Patriarchs–eternal their memory!

Christopher, Theodore, Agapius and John, Nicholas and Elias, Theodore, Basil, Peter, Theodosius and Nicephorus and John, the illustrious Patriarchs of Antioch–eternal their memory!⟩

XII

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.
Τοῦ ὀρθοδόξου ἡμῶν βασιλέως.
Τῆς ὀρθοδόξου ἡμῶν αὐγούστης.
Τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου.
Τοῦ εὐτυχεστάτου καίσαρος.

Βασιλείου, Κωνσταντίνου, Λέοντος, Ἀλεξάνδρου, Χριστοφόρου, Ῥωμανοῦ, ⟨Κωνσταντίνου, Ῥωμανοῦ,⟩ Νικηφόρου, Ἰωάννου, Βασιλείου, Κωνσταντίνου, Ῥωμανοῦ, Μιχαήλ, ⟨Κωνσταντίνου, Μιχαήλ,⟩ Ἰσαακίου, Κωνσταντίνου, Ῥωμανοῦ, Ἀνδρονίκου, Μιχαήλ, Νικηφόρου, Ἰσαακίου καὶ Ἀλεξίου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀνταλλαξαμένων, αἰωνία ἡ μνήμη.

Εὐδοκίας, Θεοφανοῦς, Θεοδώρας, Ἑλένης, Θεοφανοῦς, Θεοδώρας, Ζωῆς, Θεοδώρας, Αἰκατερίνης, Εὐδοκίας, Μαρίας, Εἰρήνης καὶ Εἰρήνης, τῶν εὐσεβεστάτων αὐγουστῶν, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ἀοιδίμων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Φωτίου, Στεφάνου, Ἀντωνίου, Νικολάου, Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου, Νικολάου, Σισιννίου, Σεργίου, Εὐσταθίου, Ἀλεξίου, Μιχαήλ, Κωνσταντίνου, Ἰωάννου, Κοσμᾶ, Εὐστρατίου, Νικολάου καὶ Ἰωάννου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

E. Anathemas

Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου γραφέντα ἢ λαληθέντα, ἀνάθεμα.

Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν Ἰγνατίου, Φωτίου, Στεφάνου, Ἀντωνίου καὶ Νικολάου γραφέντα ἢ λαληθέντα, ἀνάθεμα.

Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα.

Τοῖς συκοφαντοῦσι τὴν ἁγίαν ἐκκλησίαν ὅτι τετραγαμίαν ἐδέξατο, χάριν τῆς εὐδοκίᾳ θεοῦ γεγενημένης οἰκονομίας καὶ τῆς

---

200 E: 1–7: *Synod. Orthod.*, 114–16 (p. 53).

---

200 D XII: S 188^{v} ‖ 7 Κωνσταντίνου, Ῥωμανοῦ addidi ‖ 8 Κωνσταντίνου, Μιχαήλ addidi ‖ 13 αἰκατερίνης S ‖ 18–19 σισινίου S

200 E: J 267^{r-v} W 70^{r-v} G 232^{v}–233^{r} U 19^{v}–22^{v} N 204^{r-v} O 128 P 41^{r} V 120–121 F 318^{r} S188^{v}–189^{r} ‖ 1 Γερμανοῦ – 2 Μεθοδίου om. N ‖ 2 ἢ] καὶ GFS ‖ 3–4 om. NV ‖ 3 ση(μείωσαι) ὁ τὰ παρὰ τοῦ νικήτα τοῦ καὶ δα(υὶ)δ κατὰ φωτίου καὶ τῶν ἄλλων πατριαρχῶν γραφέντα δεχόμενος· ὅτι ἡ τοῦ θ(εο)ῦ ἐκκλησία ταῦτα οὐ προσίεται· [εἰ] δὲ καὶ σὺ ταῦτα ἀκούεις οὐ φθονοῦμεν σοι· ἀλλ' ἐλεοῦμεν. *Vindob. Hist. gr. 70,* fol. 89^{v} mg. ‖ 4 καὶ στεφάνου J ‖ καὶ Νικολάου] νικολάου καὶ στεφάνου J ‖ ἢ] καὶ F ‖ 9 γενομένης VS

XII

Long live the Emperors!
Our Orthodox Emperor.
Our Orthodox Augusta.
The most holy and Ecumenical Patriarch.
The most fortunate Caesar.

Basil, Constantine, Leo, Alexander, Christopher, Romanus, ⟨Constantine, Romanus,⟩ Nicephorus, John, Basil, Constantine, Romanus, Michael, ⟨Constantine, Michael,⟩ Isaac, Constantine, Romanus, Andronicus, Michael, Nicephorus, Isaac and Alexius, who have passed from the earthly to the heavenly Kingdom—eternal their memory!

Eudocia, Theophano, Theodora, Helen, Theophano, Theodora, Zoe, Theodora, Aecaterina, Eudocia, Mary, Irene and Irene, the most pious Augustas—eternal their memory!

Germanus, Tarasius, Nicephorus and Methodius, the illustrious Patriarchs—eternal their memory!

Ignatius, Photius, Stephen, Anthony, Nicholas, Euthymius, Stephen, Tryphon, Theophylact, Polyeuctus, Anthony, Nicholas, Sisinnius, Sergius, Eustathius, Alexius, Michael, Constantine, John, Cosmas, Eustratius, Nicholas and John, the Orthodox Patriarchs—eternal their memory!

E. Anathemas

All that has been written or spoken against the holy Patriarchs Germanus, Tarasius, Nicephorus, and Methodius—anathema!

All that has been written or spoken against the holy Patriarchs Ignatius, Photius, Stephen, Anthony, and Nicholas—anathema!

All innovations that have been made and all actions that have been undertaken, or will henceforth be undertaken, contrary to the ecclesiastical tradition and the doctrine and instruction of Holy and Illustrious Fathers—anathema!

Those who falsely accuse the Holy Church of having approved the fourth marriage, on the ground of the dispensation that with God's favor

προσλήψεως καὶ ἑνώσεως τῶν ἀδελφῶν ἡμῶν οὓς ἡ τῶν προλαβόντων σκανδάλων αἰτία ἐχώριζεν, ἀνάθεμα.

Τοῖς τολμῶσι λέγειν ὅτι ἡ ἐκκλησία τὸ καθαρὸν καὶ ἄχραντον οὐ σῴζει τῆς ἁγιστείας αὐτῆς, ἀλλὰ μολυσμόν τινα προσετρίψατο διὰ τὴν χάριτι θεοῦ γενομένην σύναψιν τῶν τέκνων, οὓς διεμέρισε μὲν τὸ ἤδη προγεγονὸς σκάνδαλον, συνῆψε δὲ ἡ τούτου παρὰ πάντων ὁμοῦ ἀθέτησις καὶ ἀποκήρυξις, ἀνάθεμα.

Τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν ἐκκλησίαν ὑπερείδουσι καὶ ὅλην τὴν Χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα.

Τούτων οὕτως διωρισμένων πρὸς ἀσφάλειαν τῆς ἁγίας ἐκκλησίας καὶ τοῦ ἀμέτοχον εἶναι τὸ εὐσεβὲς τῶν Χριστιανῶν πλήρωμα τῶν ἐξ ἀθεμίτων γάμων ῥύπων, δεόμεθα τῆς σῆς ἀγαθότητος, Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ ἔτι καὶ διὰ παντὸς πᾶν σκάνδαλον, πᾶσαν διαμερισμοῦ αἰτίαν τῆς σῆς ἐξελαύνειν ἐκκλησίας καὶ συντηρεῖν αὐτῇ τὴν εἰρηναίαν κατάστασιν, πρεσβείαις τῆς δεσποίνης ἡμῶν καὶ ἀχράντου μητρός σου, τῶν πανιέρων μαθητῶν σου καὶ ἀποστόλων, δι' ὧν ἐν πάσῃ τῇ οἰκουμένῃ τὴν σὴν κατεφύτευσας εἰρήνην, καὶ πάντων οἷς ἐξ αἰῶνος εὐαρεστούμενος ὤφθης ἁγίοις, ἀμήν.

201

Νικολάου πατριάρχου τοῦ παλαιοῦ, περὶ τοῦ τὰς πατριαρχικὰς ἐπιστολὰς ἀμισθὶ δίδοσθαι τοῖς αἰτοῦσιν, ὡς γέγραπται ἐν τῷ χαρτοφυλακείῳ

Χαλεπὸν μέν, πάθος σαρκὸς χρόνῳ τὸ †πάθος† λαβὸν ἐκμοχλεῦσαι, χαλεπώτερον δέ, χρονικῇ παρόδῳ βεβαιωθὲν ἔθος ἀπο-

---

10 προλήψεως GU ‖ 11 ἐχώριζεν] διΐστα S ‖ 13 ἁγιαστίας J ‖ 14 σύναξιν GU ‖ οὓς] ἃ F ‖ 15 τούτων F ‖ 17–18 κανόνας καὶ θείους colloc. S ‖ 18 μακαρίων] καὶ θείων add. S ‖ 19 κοσμοῦντας S ‖ 20 ποδηγοῦσιν FS ‖ 21 ἁγίας] θείας F om. S ‖ 22 πλήρωμα τῶν χριστιανῶν colloc. V ‖ 24 καὶ^{2} om. PVS ‖ 26 δεσποί-] mut. des. U ‖ 27 σου^{1}] καὶ θεοτόκου add. S ‖ 29 ἁγίων F

201: S 190^{v}–191^{r} Q 524–525 n 306^{r-v} s 355^{r-v} d 678^{v}–679^{r} et 707^{r-v} w 174^{v} ‖ 4 χρόνῳ — λαβὸν] χρόνιον ἤδη γενόμενον w ‖ πάθος] πάχος S, sed praestat κράτος vel sim.

has been granted and on the ground of the reception of, and union with, our brothers whom the cause of the former scandals kept separated from us–anathema!

Those who presume to say that the Church does not preserve her holiness pure and immaculate but has incurred a stain when through God's grace she united herself with her children who were severed by the scandal that took place in the past, and were joined to her by its unanimous rejection and prohibition–anathema!

Those who hold in contempt the sacred and divine canons of our blessed Fathers, which not only sustain the Holy Church, but also grace the entire Christian community and guide it toward godly piety–anathema!

This having thus been decreed for the security of the Holy Church and in order that the pious congregation or Christians may be free from the defilements of illicit marriages, we beseech Thy goodness, Christ our God, henceforward and forever to ban all scandal, all cause of division from Thy Church and to preserve its peaceful estate, by the intercession of our Lady, Thy Immaculate Mother, Thy all-holy disciples and apostles, through whom Thou hast planted Thy peace in all the world, and of all the saints to whom Thou hast shown Thy pleasure from the beginning of days, amen.

201

The Patriarch Nicholas the Ancient: that the Patriarchal Letters should be Made Available Free on Request, according to the Text Preserved in the Archives

It is difficult to dislodge a bodily ailment when it has acquired strength by a long lapse of time, but it is even more difficult to abolish a

201

σκευάσασθαι· ἄμφω γὰρ πρὸς ἕξιν τινὰ μεταστοιχειοῦνται, πρᾶγμα μονιμώτερον καὶ ῥᾳδίως ἥκιστα δυνάμενον μεθαρμόζεσθαι. Ἀλλ' εἰ καὶ ταῦθ' οὕτω τῷ ὄντι δοκεῖ, ῥᾷον παλαιὰν συνήθειαν τὸ φαῦλον πρόδηλον ἔχουσαν τοῦ εὐαγοῦς τοῦδε τόπου ἐξεφορήσαμεν, τὸ ἀκαπήλευτον αὐτῷ μνηστευσάμενοι.

Καὶ γὰρ ὁ τῶν τῇδε τὴν φυλακὴν ἐμπεπιστευμένος, ὃν ὀστιάριον ἡ Ῥωμαίων γλῶσσα καλεῖ, τοὺς πατριαρχικὰς αἰτουμένους ἐπιστολὰς μισθόν, ὡς οὐκ ὤφειλεν, ἀπῄτει τῆς παραλήψεως· καὶ ἦν τὸ πρᾶγμα λίαν ἐφύβριστόν τε καὶ καταγέλαστον, οὐ μόνον θεὸν παροργίζον, ἀλλὰ καὶ τὸν σεμνὸν τόπον ἐξατιμοῦν καὶ αὐτὸ τὸ τῆς ἱερωσύνης ἐκφαυλίζον αἰδέσιμον. Ἀλλ' ἡμεῖς γε τὴν τοῦ ὀστιαρίου σκῆψιν ἐκφυλλοφοροῦντες, τούτῳ μὲν ῥόγαν ἐτήσιον δίδοσθαι ἐτάξαμεν, τὴν πονηρὰν δὲ συνήθειαν λήθῃ βαθείᾳ καὶ ἀιδίῳ ὑπερορίᾳ παρεπεμψάμεθα. Ἣν μηδαμῶς χώραν ἔτι ἔχειν ἐν ἁγίῳ διοριζόμενοι πνεύματι, ἐντελλόμεθα τοῖς τε κατὰ καιροὺς χαρτοφύλαξι καὶ τοῖς ἀμφ' αὐτοὺς νοταρίοις ἄθραυστον τὸν παρόντα τύπον διατηρεῖν καὶ τούτου ἐπιμελεῖσθαι ἀεί, ὡς μὴ ῥᾳστώνῃ τινὶ καὶ ὀλιγωρίᾳ (ὃ δὴ καὶ ὑπολαμβάνειν, μήτι γε πράττειν, ἐφάμαρτον) κἂν τὸ βραχύτατον παρατρέπεσθαι.

Εἰ δὲ παρόπται τινὲς τοῦ τοσούτου ἀγαθοῦ ἐκ μεγάλης περὶ τὰ θεῖα φωραθεῖεν καταφρονήσεως, τοῦτον μὲν γνώμη φιλόθεος πρὸς τὴν ἀξιέπαινον ἐπανάξει εὐγένειαν, αὐτοὶ δ' εὖ ἴστωσαν ὡς δίκας θεῷ δώσουσι νῦν τε καὶ ὁπηνίκα οὐ τὰ μείζω μόνον τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτά γε τὰ μέτρια πυρὶ ταλαντεύεται καὶ διακρίνεται. Ὡς γὰρ τὰ θεῖα τῆς ἀξιολόγου καθεστήκασιν ἀντιδόσεως ἄξια, οὕτω καὶ τὰ τῆς ἐναντίας μοίρας τὴν ἰσοπαλῆ τοῖς ἔργοις παρέχεται ἀμοιβήν.

6 post πρᾶγμα] γινόμενα add. w ‖ 8 post δοκεῖ] ἀλλ' ἡμεῖς γε add. w ‖ 11 τῶν τῇδε SQn: τήνδε sd τοῦδε w ‖ 13 ὤφελεν w ‖ 15 αὐτό γε Qn ‖ 16 γε om. s ‖ τοῦ om. w ‖ 17 ἐκφυλλοφοροῦντες s: -φυλο- Qdnw ἐκφυλοφρονοῦντες S ‖ τοῦτο Qn ‖ 19 ἔχειν ἔτι colloc. dw ‖ διοριζόμενοι SQn: -μεθα sdw ‖ 20 ἐντελλόμεθα SQn: -όμενοι sdw ‖ 23 μήτοι w ‖ 24 περιτρέπεσθαι sdw ‖ 26 τοῦτο Qn ‖ 30 καθεστᾶσιν Qn ‖ ἄξια] αἴτια Qn

201

custom sanctioned by the passage of time; both transform themselves into a sort of settled condition that tends to be permanent and is by no means easy to redress. Yet though this appears to be true indeed, we have found it easy to rid this sacred place of an old but manifestly blameworthy custom, and thus to gain for it freedom from all commercialism.

Its keeper, who bears the Latin title of *ostiarius,* used to demand fees from those who requested patriarchal letters, in payment for the copy, a thing he should not have done; the practice was utterly outrageous and preposterous, one that besides rousing God's wrath was also an insult to this venerable place and compromised the very dignity of the priesthood. In order to preclude any pretext on the part of the *ostiarius,* however, we have fixed an annual salary for him and have consigned this evil practice to utter oblivion and everlasting banishment. Decreeing in the name of the Holy Spirit that henceforth it shall in no way be tolerated, we enjoin upon those who shall successively hold the office of *chartophylax* and upon the scribes at their disposal to maintain the present regulation and to see to it at all times that no indifference or negligence (an eventuality which it is sinful even to envisage, let alone to bring about) shall lead to the smallest infringement.

If, out of profound contempt for the sacred, some should be found guilty of ignoring a rule so beneficial, pious intent will restore this regulation to the rank of high respect which it deserves; the offenders, however, should be aware that God's punishment awaits them, both now and at the time when not only the greater sins but even the lesser ones are tried and judged by fire. For even as godly deportment deserves a just reward, so its opposite entails a retribution proportionate to the deed.

202. Decree on the Great Habit

Ὁ ἁγιώτατος οἰκουμενικὸς πατριάρχης Κωνσταντινουπόλεως Νικόλαος, ὁ ὑπὸ τῆς βασιλείας Λέοντος τοῦ φιλοσόφου καὶ μέχρι τῆς βασιλείας Ῥωμανοῦ τοῦ γέροντος, μετὰ τῆς αὐτοῦ ἁγίας ἐξεῖπε συνόδου περὶ τῶν ἀποκειραμένων μεγαλοσχήμων ὅτι

«Ἡ χάρις χάριν οὐκ ἐκδιώκει, ἀλλὰ καὶ ἁγιάζει μᾶλλον καὶ συνιστᾷ καὶ φωτίζει· διὸ καὶ τοὺς ἀποκειρομένους μεγαλοσχήμους οὐ χρὴ ἀπείργειν τῆς θείας λειτουργίας, κἂν καί τις ἴσως κανὼν εὑρεθῇ ἀπείργων αὐτούς· ἁμαρτία γὰρ καὶ μόνη ἀπείργει τῆς θείας λειτουργίας καὶ οὐχὶ τοῦ μεγάλου σχήματος ὁ ἁγιασμός.»

203

Κανὼν θρηνητικὸς τῆς ὑπεραγίας θεοτόκου ἐν τῇ σταυρώσει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ θεοῦ, ποίημα Νικολάου πατριάρχου Κωνσταντινουπόλεως

ᾠδὴ α′. ἦχος πλ. β′. «Ὡς ἐν ἠπείρῳ»
Ἀναρτηθέντα ὡς εἶδεν | ἐπὶ σταυροῦ
τὸν υἱὸν καὶ κύριον
ἡ παρθένος καὶ ἁγνή,
τρυχομένη ἔκλαιεν πικρῶς
μεθ' ἑτέρων γυναικῶν | καὶ «Οἴμοι» ἔλεγεν.

«Βλέπω σε, φίλτατον τέκνον | καὶ ποθεινόν,
ἐν σταυρῷ κρεμάμενον,
καὶ τιτρώσκομαι πικρῶς
τὴν καρδίαν,» ἔφη ἡ ἁγνή,
«ἀλλὰ δός μοι, ἀγαθέ, | λόγον τῇ δούλῃ σου.

203: 10: Ioann. 19:25.

202: b 132^{v} t 61^{r} h 307^{r} ‖ 1 οἰκουμενικὸς om. t ‖ 3–4 συνόδου ἐξεῖπε colloc. h ‖ 4 ἀποκειρομένων b ‖ 5 ἡ om. t ‖ 6 ἀποκειραμένους h ‖ μεγαλοσχήμους] ἀρχιερεῖς add. h ‖ 7 ἴσως om. h ‖ 8 θείας om. t
203: Π 12^{r}–15^{v} ‖ 10 οἴμμοι (semper) Π

202. Decree on the Great Habit

The Most Holy Patriarch of Constantinople, Nicholas (from the reign of Leo the Philosopher until the reign of Romanus the Ancient) with his Holy Synod declared as follows concerning the tonsured who wear the great habit:

"Grace does not expel Grace, rather it bestows even greater sanctity, firmness, and enlightenment. Therefore, those of the tonsure who wear the great habit must not be excluded from the Divine Liturgy, even if perhaps a canon so excluding them should be found; for only sin can exclude from the Divine Liturgy, not the sanctity of the great habit."

203

A Canon on the Lament of the Most Holy Mother of God at the Crucifixion of our Lord and God Jesus Christ: a Poem by Nicholas Patriarch of Constantinople

Ode 1. First plagal mode. *"Hōs en ēpeirō"*
When she saw her Son and Lord hanging on the cross, the Pure Virgin, rent by sorrow, wept bitterly with other women, and said "Alas!

"I see you, my dearest beloved Son, hanging on a cross, and my heart is grievously wounded," the Pure One spoke; "but in your goodness give me, your servant, a reason.

203

«Γνώμῃ ἰδίᾳ, υἱέ μου | καὶ ποιητά,»
ἡ παρθένος ἔλεγεν,
παρεστῶσα τῷ σταυρῷ
σὺν ἠγαπημένῳ μαθητῇ,
«ὑποφέρεις τὸν δεινὸν | ἐν ξύλῳ θάνατον.

«Νῦν τὴν ἐμὴν προσδοκίαν | καὶ τὴν χαρὰν
καὶ τὴν ἀγαλλίασιν,
τὸν υἱόν μου καὶ θεόν,
ἐστερήθην, οἴμοι, καὶ ἀλγῶ
τὴν καρδίαν,» ἡ ἁγνὴ | ἔλεγεν κλαίουσα.

ᾠδὴ γ΄. «Οὐκ ἔστιν ἅγιος»
Διὰ τὸν φόβον τὸν πολὺν | Ἰουδαίων ὁ Πέτρος
ἀπεκρύβη καὶ πάντες | ἀπέφυγον οἱ πιστοί,
καταλιπόντες Χριστόν·
ἡ παρθένος | θρηνῳδοῦσα ἔλεγεν·

«Ἐπὶ τῷ ξένῳ σου τοκετῷ | καὶ φρικτῷ σου, υἱέ μου,
ὑπὲρ πάσας μητέρας | ἐμεγαλύνθην ἐγώ·
ἀλλ᾽ οἴμοι, νῦν σε ὁρῶ
ἐπὶ ξύλου, | φλέγονται τὰ σπλάγχνα μου.

«Ζητῶ τὸ σπλάγχνον τὸ ἐμὸν | ἐν ἀγκάλαις, αἷς πρώην
ὥσπερ βρέφος κατεῖχον, | ἀπὸ τοῦ ξύλου λαβεῖν,»
ἐφθέγγετο ἡ ἁγνή,
«ἀλλ᾽ οὐδείς μοι, | οἴμοι, τοῦτο δίδωσιν.

«Ἰδοὺ τὸ φῶς μου τὸ γλυκύ, | ἡ ἐλπίς, ἡ ζωή μου,
ὁ υἱὸς καὶ θεός μου, | ἐσβέσθη ἐν τῷ σταυρῷ
καὶ φλέγομαι δι᾽ αὐτό,»
ἡ παρθένος | ἔλεγεν σταλάζουσα.

18–19: Ioann. 19:26. ‖ 27: cf. Ioann. 20:19. ‖ 28: cf. Matth. 26:56; Marc. 14:50.

33 ὁρῶ Mai: ὁρᾷ Π ‖ 39 γλυκύ Mai: -ύν Π

203

"Of your own free will, my Son and Creator," the Virgin said, standing by the cross with the beloved disciple, "you suffer the terrible death on the rood.

"Now I am bereft of my hope, my joy, and my pride, of my Son and God, alas! and it hurts my heart," the Pure One spoke weeping.

Ode 3. *"Ouk estin hagios"*
Because of their great fear of the Jews, Peter hid and all the faithful fled, forsaking Christ; the Virgin, wailing, spoke:

"By your wondrous and awesome birth, my Son, I was glorified above all mothers; but alas! now I see you on a cross, and my bowels burn.

"I want to take my Son down from the cross in my arms, in which once I held you as a baby," the Pure One spoke, "but no one, alas! grants me this.

"Behold: my sweet light, my hope, my life, my Son, and my God, was extinguished on the cross, and I am seared with grief because of it," the Virgin said, shedding tears.

203

ᾠδὴ δʹ. «Χριστός μου δύναμις»

«Ἥλιε ἄδυτε, | θεὲ προάναρχε,
ποιητὰ τῶν ἁπάντων,
δημιουργὲ | τῶν κτισμάτων κύριε,
πῶς φέρεις πάθος ἐν σταυρῷ;»
ἡ ἁγνὴ κλαίουσα ἔλεγεν.

Θρηνοῦσα ἔλεγεν | ἡ ἀπειρόγαμος
τῷ εὐσχήμονι· «Σπεῦσον,
ὦ Ἰωσήφ, | τῷ Πιλάτῳ πρόσελθε
καὶ ἐξαίτησον καθελεῖν
ἐκ τοῦ ξύλου τὸν διδάσκαλον.»

Ἰδὼν τὴν ἄχραντον | πικρῶς δακρύουσαν
Ἰωσὴφ ἐταράχθη·
θρηνῳδῶν | τῷ Πιλάτῳ πρόσεισι,
«Δός μοι» βοῶν μετὰ κλαυθμοῦ
«νῦν τὸ σῶμα τοῦ κυρίου μου.»

«Κατεστιγμένον σε | ὁρῶ καὶ ἄδοξον
καὶ γυμνὸν ἐπὶ ξύλου
τέκνον ἐμόν, | καὶ τὰ σπλάγχνα φλέγομαι,»
ὀδυρομένη μητρικῶς
ἡ παρθένος ἀπεφθέγγετο.

ᾠδὴ εʹ. «Τῷ θείῳ φέγγει σου»

Κατατρυχόμενος ὁ Ἰωσὴφ
καὶ καταπληττόμενος ὁμοῦ
σὺν Νικοδήμῳ κατήγαγεν
τὸ τοῦ διδασκάλου ἄχραντον σκήνωμα,
θρηνοῦντες καὶ ὑμνοῦντες | τοῦτον ὡς κύριον.

50: Marc. 14:43. ‖ 56–58: Matth. 27:57–58; Marc. 15:43–45; Luc. 23:50–52; Ioann. 20:38.

---

52 ἐξαίτησον Mai: ἐξαιτήσου Π

203

Ode 4. *"Christos mou dynamis"*

"Never-setting Sun, God before all eternity, Maker of the Universe, Creator and Lord of your creatures, how can you bear to suffer on a cross?" the Pure One said, weeping.

Lamenting, she who knew no man said to the honorable Joseph: "Hasten, Joseph, go to Pilate and ask him leave to take down your Teacher from the cross."

When he saw the Immaculate One weeping bitterly, Joseph was troubled; lamenting, he approached Pilate and cried out with tears: "Give me at last the body of my Lord!"

"I see you pierced with wounds and humiliated and naked upon the rood, my Child, and my bowels burn"—thus, wailing as a mother does, the Virgin spoke.

Ode 5. *"Tō theiō phengei sou"*

Joseph, worn out by sorrow, and awed at the same time, took down with Nicodemus his Teacher's immaculate body, both of them mourning for him and singing his praises as their Lord.

203

Λαβοῦσα τοῦτον μετὰ κλαυθμοῦ
μήτηρ ἡ ἀπείρανδρος ἁγνὴ
καὶ περιθεῖσα τοῖς γόνασι,
βρέχουσα τοῖς δάκρυσι κατεφίλει αὐτόν,
πικρῶς ὀδυρομένη | καὶ ἀλαλάζουσα.

«Μόνην ἐλπίδα σὲ καὶ ζωήν,
δέσποτα, υἱέ μου καὶ θεέ,
καὶ ὀφθαλμῶν φῶς ἡ δούλη σου
εἶχον· νῦν δέ, οἴμοι, ἀποστερεῖς σου,
γλυκύτατόν μου τέκνον | καὶ ποθεινότατον.

«Ὀδύναι, θλίψεις καὶ στεναγμοὶ
εὕροσάν με, οἴμοι,» ἡ ἁγνὴ
πικρῶς θρηνοῦσα ἐφθέγγετο,
«βλέπουσά σε, τέκνον μου ποθεινότατον,
γυμνόν, ἀπερριμμένον, | ἐσμυρνισμένον, νεκρόν.»

ᾠδὴ ς'. «Τοῦ βίου τὴν θάλασσαν»
«Νεκρόν σε, φιλάνθρωπε, | τὸν ζωώσαντα νεκροὺς
κρατῶν δεινῶς τιτρώσκομαι
τὰ σπλάγχνα, καὶ σὺν σοὶ θέλω τοῦ θανεῖν,»
ἡ πάναγνος ἔλεγεν·
«οὐ γὰρ φέρω σε ἄπνουν | καὶ νεκρὸν καθορᾶν.

«Ξενίζομαι βλέπουσα, | ὑπεράγαθε θεὲ
καὶ πανοικτίρμον κύριε,
ἄδοξον, ἄπνουν, ἄμορφον καὶ γυμνόν,
καὶ κλαίω κρατοῦσά σε,
ὡς οὐκ ἤλπιζον, οἴμοι, | κατιδεῖν σε, υἱέ.

73: cf. Luc. 7:38. ‖ 84: Ioann. 20:39.

78 ἀποστερεῖς Mai: -εῖν Π ‖ 84 ἀπερρημένον Π: -γμένον scr. Mai ‖ 87 fort. κρατῶ· δεινῶς ‖ 92 πανοικτίρμον] sic Π

203

The pure Mother, who knew no man, receiving him with weeping and laying him on her knees, washed him with her tears and kissed him, crying bitterly and wailing.

"You were to your servant her only hope and her life, O Master, O my Son and my God, and you were the light of her eyes; but now, alas! you allow me to lose you, my sweetest and most beloved Child!

"Sorrows, troubles, and sighs have overtaken me, alas!" the Pure One cried lamenting bitterly, "now that I see you, my dearly beloved Son, naked, cast out, embalmed, dead."

Ode 6. *"Tou biou tēn thalassan"*
"As I hold you dead, Merciful One, you who brought the dead to life, my heart is terribly wounded, and I wish to die with you," the most Pure One spoke, "for I cannot bear seeing you lifeless, dead.

"I am bewildered at seeing you, God beyond all goodness, Lord all-merciful, inglorious, lifeless, shapeless, and naked, and I weep, holding you as I never, alas! expected to see you, my Son.

203

«Οὐ λέγεις τῇ δούλῃ σου | λόγον, λόγε τοῦ θεοῦ,
οὐ κατοικτείρεις, δέσποτα,
τὴν σὲ τεκοῦσαν,» ἔλεγεν ἡ ἁγνὴ
θρηνοῦσα καὶ κλαίουσα
καὶ φιλοῦσα τὸ σῶμα | τὸ πανάχραντον.

«Λογίζομαι, δέσποτα, | οὐκέτι ***
λαλιάν σου ἀκούσομαι
οὐδὲ τὸ κάλλος βλέψω σου τῆς μορφῆς
ὡς πρώην ἡ δούλη σου·
καὶ γὰρ ἔδυς, υἱέ μου, | ἐξ ἐμῶν ὀφθαλμῶν.»

ᾠδὴ ζʹ. «Δροσοβόλον μὲν τήν»
«Πῶς, υἱέ μου καὶ θεέ, τὰ εὐαγγέλια
ἃ Γαβριήλ μοι ἔλεγεν,
βασιλέα σε καὶ υἱὸν ὑψίστου καὶ θεὸν
ἐκάλει καὶ νῦν σε θεωρῶ,
φῶς μου γλυκύτατον, γυμνόν, | κατεστιγμένον, νεκρόν;

«Ῥυόμενος δεινῶν με συμπαράλαβε
μεθ' ἑαυτοῦ, υἱὲ καὶ θεέ·
συγκατέλθω σοι ἐν τῷ ᾅδῃ, δέσποτα, κἀγώ·
μὴ λίπῃς με μόνην ἔτι ζῆν,
καὶ γὰρ οὐ φέρω ⟨μὴ⟩ ὁρᾶν | σὲ τὸ γλυκύτατον φῶς.»

Σὺν ταῖς ἄλλαις μυροφόροις ἐπωδύρετο
ἡ ἄμεμπτος πικρότατα
κομιζόμενον ἐν τῷ τάφῳ βλέπουσα Χριστόν,
καὶ ἔλεγεν «Οἴμοι, τί ὁρῶ;
ποῦ νῦν ὑπάγεις, υἱέ, | καὶ μόνην λείπεις ἐμέ;»

Ἀθυμοῦσα καὶ θρηνοῦσα ἡ πανάμωμος
ταῖς μυροφόροις ἔλεγεν·
Συνθρηνήσατε σὺν ἐμοὶ καὶ κλαύσατε πικρῶς·
ἰδοὺ γὰρ τὸ φῶς μου τὸ γλυκὺ
καὶ ὁ διδάσκαλος ὑμῶν | τάφῳ παραδίδοται.»

107–110: Luc. 1:31–33. ‖ 117: cf. Luc. 23:56–24:1.

---

101 supple ex. gr. ⟨ἀπὸ τοῦ νῦν⟩ ‖ 116 μὴ addidi ‖ σε Π ‖ 121 λίπεις Π ἔλιπες Mai

203

"You do not speak a word to your servant, Word of God, you have no pity, Master, on her who bore you," the Pure One said, lamenting and weeping and kissing the body free from the stain of all sin.

"I think, Master, that I shall never again hear your voice nor see the beauty of your form, as I, your servant, did before; for you have disappeared, my Son, out of my eyes."

Ode 7. *"Drosobolon men tēn"*
"How could, my Son and my God, the joyful message which Gabriel brought to me call you a King and a Son of the Most High and a God? and how do I see you now, my sweetest light, naked, pierced with wounds, dead?

"Rescue me from my misery and take me with you, my Son and my God; let me, too, descend to hell with you, Master; do not leave me to live on alone, for I cannot bear not to see you, my sweetest light."

With the other bearers of unguents the blameless One lamented most bitterly, as she saw Christ carried into the tomb, and she said: "Alas, what do I see! Where are you going now, my Son, leaving me behind lonely?"

Despondent and mourning the Virgin without any blemish spoke to the bearers of unguents: "Lament with me and weep bitterly, for behold, my sweet light who is your Teacher is committed to the grave."

ᾠδὴ η΄. «Ἐκ φλογὸς τοῖς ὁσίοις»
Τὴν παρθένον θρηνοῦσαν | ὁ Ἰωσὴφ θεωρῶν
κατετρύχετο ὅλως | καὶ ἀνεβόα πικρῶς·
«Πῶς σε, ὦ θεέ μου, νῦν κηδεύσω ὁ δοῦλός σου,
ποίαις δὲ σινδόσιν | εἰλήσω σου τὸ σῶμα;»

Ὑπὲρ νοῦν ὑπερβαίνει | τὸ ξένον θέαμα·
ὁ βαστάζων τὴν κτίσιν | πᾶσαν ὁ κύριος,
τοῦτον Ἰωσὴφ ὡς νεκρὸν ἐν χερσὶν ἑαυτοῦ
σὺν τῷ Νικοδήμῳ | βαστάζει καὶ κηδεύει.

«Φοβερὸν καὶ φρικῶδες | βλέπω μυστήριον,»
ἡ παρθένος ἐβόα· | «υἱέ ***,
πῶς ἐν εὐτελεῖ μνημείῳ κατατίθεσαι,
ὁ νεκροὺς προστάξει | ἐγείρας ἐκ μνημάτων;

«Οὐ τοῦ τάφου σου, τέκνον, | νῦν ἐγερθήσομαι,
οὐ τὰ δάκρυα παύσω | ῥαίνειν ἡ δούλη σου,
ἕως οὗ κἀγὼ συγκατέλθω ἐν ᾅδῃ·
φέρειν γὰρ οὐ σθένω | τὴν στέρησίν σου, φῶς μου.»

ᾠδὴ θ΄. «Θεὸν ἀνθρώποις ἰδεῖν»
«Χαρὰ οὐδ᾽ ὅλως ἐμοὶ προσψαύσειεν
ἀπὸ τοῦ νῦν» ἐβόα θρηνῳδοῦσα ἡ ἄμεμπτος·
«τὸ γὰρ φῶς τῆς χαρᾶς μου ἐν μνήματι
ἔδυσεν· ἀλλ᾽ οὐ λίπω | τοῦτο μονώτατον·
ἐνθάδε τεθνήξομαι κἀγώ, καὶ συνθανοῦμαι αὐτῷ.

«Ψυχῆς τὸ ἄλγος νῦν θεράπευσον,
τέκνον ἐμόν,» ἡ πάναγνος ἐβόα δακρύουσα,
«καὶ ἀνάστηθι, παῦσον τοὺς πόνους μου
καὶ ⟨τὰς⟩ πικράς μου θλίψεις· | δύνασαι, δέσποτα·
ὅσα γὰρ σὺ θέλεις, καὶ ποιεῖς, εἰ καὶ ἐτάφης ἑκών.»

131: Marc. 15:46. || 133–135: Ioann. 19:40–42. || 139: Ioann. 11:38–44.

---

128 θρηνοῦσαν Mai: -σα Π || 131 εἰλίσω Π || 137 supple ex. gr. ⟨μου καὶ θεέ⟩ || 153 τὰς addidi || 154 θέλεις Mai: -ης Π

Ode 8. *"Ek phlogos tois hosiois"*

When Joseph saw the Virgin mourning, he was all grief-smitten and cried out bitterly: "How, O my God, shall I, your servant, now bury you, and in what shrouds shall I wrap your body?"

The strange sight passes understanding: the Lord who carries all creation is carried as a dead body in the arms of Joseph and Nicodemus, and is laid in the grave.

"Terrible and awesome is the mystery I see," the Virgin cried; "my Son ⟨and my God,⟩ how can you be laid in a lowly tomb, you that by the word of your command raised the dead from their graves?

"I shall no more rise up from your grave, my child, nor shall I, your servant, cease the flood of my tears, until I too have descended to hell; for I cannot bear the loss of you, my light."

Ode 9. *"Theon anthrōpois idein"*

No joy whatever could touch me henceforth," the Blameless One cried, lamenting: "for the light of my joy has set in the grave; but I cannot leave it all alone; here I shall also die, and I shall die with him.

"Now heal the pain of my soul, my Child," the Pure One cried out weeping, "and rise, end my sorrows and my bitter trials; you can do so, Master, for whatever you will, you do, even though you consented to be buried."

«Ὦ πῶς διέλαθέν σε ἡ ἄβυσσος,»
τῇ ἁγνῇ ἔφη ὁ κύριος, «⟨τῶν κριμάτων μου;⟩
Τὸ πλάσμα μου σῶσαι βουλόμενος
θνῆξαι κατεδεξάμην· | ἀλλ' ἀναστήσομαι
καὶ μεγαλυνῶ ὡς θεός, ἐν οὐρανῷ καὶ ἐν γῇ.»

«Ὑμνῶ τὸ εὔσπλαγχνόν σου, φιλάνθρωπε,
προσκυνῶ τὸ πλοῦτος τοῦ ἐλέους σου, δέσποτα·
τὸ γὰρ πλάσμα σου σῶσαι βουλόμενος
ὡς θεὸς κατεδέξω,» | ἔφη ἡ ἄχραντος·
«ἀλλ' ἐν τῇ ἐγέρσει σου, σῶτερ, πάντας ἐλέησον.»

204. Canon to St. Gregory the Illuminator and Rhipsimia

Ὁ κανών

ᾠδὴ α'. ἦχος πλ. δ'. «Ἄισωμεν τῷ κυρίῳ»
Σήμερον ἡ φωσφόρος
τοῦ καλοῦ ποιμένος | ἐξανέτειλε
Γρηγορίου ἡ μνήμη,
ἣν οἱ πίστει τιμῶντες φαιδρύνονται.

Κατεδίωξε, πάτερ,
ὁ ἐχθρὸς πορείαν | τῶν ἀγώνων σου·
ἀλλ' ἐπαναστραφείσης
κατεσχέθη αὐτοῦ τῆς διώξεως.

Ὦ τῆς παντοδυνάμου
Ἰησοῦ θεέ μου, | ἀσθενείας σου·
τοὺς διώκτας προσάγει
λατρευτὰς ἐν τῷ πάσχειν Γρηγόριος.

155–156: cf. Ps. 35:7. ‖ 158–159: Cosmas, *can. in Magnum Sabbatum* (Christ-Paranikas, 196–201), od. 9 str. 3. ‖ 161: cf. Rom. 9:23.
204: 4: Ioann. 10:11.

156 τῶν κριμάτων μου ex. gr. supplevi ‖ 159 μεγαλυνῶ Mai: μεγαλύνω Π μεγαλύνω σε Cosmas, can. in Magnum Sabbatum, od. 9, str. 3
204: Λ 217^v–220^v Θ 78^r–81^v Δ 82^r–84^v ‖ initia hirmorum secundum Δ dedi ‖ 1 νικολά(ου) πατρ(ιάρχου) mg. Λ ‖ 6 πιστοὶ ΛΘ ‖ 10 κατεσχέθη αὐτοῦ Δ: κατησχύνθη αὐτῷ ΛΘ ‖ 12 ἀσθενείας Λ: εὐσθενείας Δ δυναστείας Θ

"I praise your compassion, Friend of Mankind, I adore the wealth of your mercy, Master: wanting to save your creation you accepted to die as God," the Immaculate One said; "but in your Resurrection, Savior, have pity upon us all."

"Ah, how you have failed to fathom," the Lord spoke to the Pure One, "the depth ⟨of my judgments⟩! In order to save my creation I accepted to die; but I shall rise again and do great deeds as God, in heaven and on earth."

204. Canon to St. Gregory the Illuminator and Rhipsimia

The Canon

Ode 1. First plagal mode. *"Asōmen tō Kyriō"*

Today has dawned the shining memory of Gregory the good shepherd, which those who revere it in faith celebrate joyfully.

The enemy, Father, pursued you on the road of your struggles; but the pursuit was reversed, and he was captured.

Oh your almighty weakness, Jesus my God! Gregory in his suffering brings the persecutors to you as worshipers.

Ἄχραντε θεοτόκε,
ἡ σεσαρκωμένον | τὸν ἀΐδιον
καὶ ὑπέρθεον λόγον
ὑπὲρ φύσιν τεκοῦσα, ὑμνοῦμέν σε.

ᾠδὴ γ΄. «Σὺ εἶ τὸ στερέωμα»
Σκῆνος τὸ φθειρόμενον
τοῖς καταξαίνουσιν, ἔνδοξε,
παραδιδοὺς | τὸ τῆς ἀφθαρσίας
ἀντεκτήσω διαίτημα.

Ἤμβλυνεν, Γρηγόριε,
τῶν ἀσεβῶν ἀκμὴν ἔνστασις
ἡ εὐσεβής, | ἣν ὡς πανοπλίαν
περιφέρων ἠγώνισαι.

Ἔρως ὁ πανάχραντος
σῆς ὡραιότητος εἵλκυσε
σοί, Ἰησοῦ, | θήλεος τὴν φύσιν
ἠρνημένην ἀσθένειαν.

Δὸς ἡμῖν βοήθειαν
ταῖς ἱκεσίαις σου, πάναγνε,
τὰς προσβολὰς | ἀποκρουομένη
τῶν δεινῶν περιστάσεων.

ᾠδὴ δ΄. «Εἰσακήκοα, κύριε»
Τῷ σῷ λύθρῳ τοῦ αἵματος
τῷ τοῦ μαρτυρίου, πάτερ Γρηγόριε,
ἀντὶ μέλανος χρησάμενος
τοῦ Χριστοῦ τὰ δόγματα διεχάραξας.

21: cf. *Acta Greg. Illum.* (ed. G. Garitte, *Documents pour l'étude du livre d'Agathange* [Roma, 1946], 23–116), 25, 15–16. ‖ 26: Ephes. 6:11. ‖ 37–40: cf. *Acta Greg.* (supra), 26, 10–12.

---

18 τεκοῦσα ΘΔ: καὶ λόγον Λ ‖ 23 διάδημα ΛΘ ‖ 29 σῆς] τῆς Θ ‖ 30 θήλεως ΘΔ ‖ 31 ἠρνημένον Θ

Immaculate Mother of God, you that bore the eternal and supremely divine Word incarnate in a way beyond nature, we praise you!

Ode 3. *"Sy ei to stereōma"*

When you abandoned your perishable tabernacle to the torturers, Glorious One, you received instead the abode of imperishability.

The sword edge of the impious was blunted, Gregory, by your pious resistance, which you wore as a suit of armor in your fight.

The blameless love of your beauty, Jesus, drew to you feminine nature, which belied its own weakness.

Give us help through your entreaties, most Pure One, warding off the assaults of fearful temptations.

Ode 4. *"Eisakēkoa, Kyrie"*

Using as ink the blood shed in your martyrdom, Father Gregory, you wrote out the teachings of Christ.

Τῷ πυρὶ τῆς ἀγάπης σου,
Ἰησοῦ φιλάνθρωπε, ἐκκαιόμενος
κατεσβέννυεν τὴν φλόγωσιν
τῶν δεινῶν βασάνων ὁ Γρηγόριος.

Λογισμῶν φέρων ἔκστασιν
σοῦ τοῦ ποιητοῦ τῆς δόξης ὁ τύραννος
διαμείβει καὶ τὴν μόρφωσιν
ἀλογίας εἴδει συμμορφούμενος.

Ἱλασμὸν ἡμῖν δώρησαι
τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος·
καὶ εἰρήνευσον τὸν κόσμον σου,
ὁ θεός, πρεσβείαις τῆς τεκούσης σε.

ᾠδὴ ε΄. «Ὀρθρίζοντες βοῶμεν»
Ναὸς ὡς χρηματίσας,
Γρηγόριε, | τῆς τριάδος
εἰδώλων κατέστρεψας
τὰ ἐναγῆ τεμενίσματα.

Τὸ αἷμά σου, νυμφίε,
τὸ ἄχραντον | ἀρραβῶνα
γυναῖκες δεξάμεναι
σοὶ τὸ οἰκεῖον ἀντέδωκαν.

Σπονδὰς τῆς ἀσεβείας
κατέπαυσας, | ἱεράρχα,
θυσία γενόμενος
τῷ ζωοδότῃ καὶ θύματι.

45–48: ibid., 48, 7–16. ‖ 46–48: cf. Rom. 1:23. ‖ 54–57: *Acta Greg.* (supra), 75, 6–80, 10.

41–44 post 48 pon. Λ ‖ 45 ἔνστασιν ΛΘ ‖ 48 ἔδει Θ ‖ 55 γρηγόρε τὴν τριάδα Θ ‖ 57 τεμενίσματα] τεμένη μακάριε Θ ‖ 58–59 νυμφίε τὸ ἄχραντον ΛΘ: τὸ ἄχραντον κύριε Δ ‖ 60–61 δεξάμεναι — οἰκεῖον ΛΘ: ἐδέξαντο καὶ τὸ αὐτῶν σοὶ Δ

Burning with the fire of your love, Merciful Jesus, Gregory quenched the flame of the horrible tortures.

The oppressor, bereft of his mind, changed even the image of the glory of you, his Maker, to conform to the shape of brutishness.

Grant us forgiveness of our errors, as you are free from sin; and give peace to your world, O God, by the intercession of your Mother.

Ode 5. *"Orthrizontes boōmen"*
Being yourself a temple, Gregory, of the Trinity, you overthrew the unholy sanctuaries of the idols.

Your innocent blood, Bridegroom, was received as a pledge by women, who gave you theirs in return.

You set an end to the libations of impiety, Holy Bishop, by becoming a sacrifice to the Giver of Life and Sacrificial Victim.

Μαρία, θεοτόκε
ἀνύμφευτε, | τὰς ἐλπίδας
τῶν ἐχθρῶν ματαίωσον
καὶ τοὺς ὑμνοῦντάς σε εὔφρανον.

ᾠδὴ ς'. «Χιτῶνά μοι παράσχου»
Ὡς ἴχνη ἀγαπήσας, ἀθλητά,
τοῦ ξύλῳ προσπήξαντος
ἡμῶν τὸ ἁμάρτημα
ἀνηρτήθης ἐν τῷ ξύλῳ ἐκμιμήσει αὐτοῦ.

Βασάνων ἐν ποικίλοις ἑτασμοῖς
τὸν σὸν ἐξετέλεσας
ἀγῶνα, Γρηγόριε·
ἀλλὰ στέφει πολυπλόκῳ νῦν κεκόσμησαι.

Τὸ κλέος τῶν παρθένων τὸ σεπτόν,
Ῥιψιμία ἔνδοξε,
τοῖς θείοις ἀγῶσί σου
κατεσέμνυνας τὸ γένος τὸ τοῦ θήλεος.

Ναόν σε τοῦ θεοῦ καὶ κιβωτὸν
καὶ παστάδα ἔμψυχον
καὶ πύλην οὐράνιον,
θεοτόκε, οἱ πιστοὶ καταγγέλλομεν.

ᾠδὴ ζ'. «Οἱ ἐκ τῆς Ἰουδαίας»
Ὠχυρωμένος τῇ πίστει
μηχαναῖς τῶν βασάνων | ὤφθης ἀνάλωτος,
τηρήσας ἀμειώτως
τὸν πλοῦτον τὸν τῆς δόξης
Ἰησοῦ τῷ δεσπόζοντι·
ὁ τῶν πατέρων ἡμῶν θεός, εὐλογητὸς ⟨εἶ⟩.

72–73: Coloss. 2:14. || 74: *Acta Greg.*, 26, 21–29. || 91: Rom. 9:23; Coloss. 1:27. || 93: Dan. 3:52.

71 ἀγαπήσας Δ: ποθήσας ΛΘ || 72 ξύλου Θ || 74 ἐκμιμήσει ΛΘ: ἐν μιμήσει Δ || 79 παρθένων: ἀν(θρώπ)ων ΛΘ || 82 τὸ^{2} om. Δ || θήλεως ΘΔ || 91 τὸν τῆς δόξης] τῆς δόξης σου Θ

Mary, unbrided Mother of God, frustrate the hopes of our enemies and give joy to those who sing your praises.

Ode 6. *"Chitōna moi paraschou"*
Because you chose, Martyr, to follow in the steps of Him Who nailed our sin to the cross, you were hung on the cross after His example.

Tried by manifold tortures you finished your fight, Gregory, but now you are graced by a multiple crown.

Venerable glory of virgins, Celebrated Rhipsimia, by your divine struggles you have honored womankind.

A temple of God and an ark, a living bridal chamber, a gate of heaven, we, your faithful, proclaim you, Mother of God.

Ode 7. *"Hoi ek tēs Ioudaias"*
Fortified by your faith, you were found impregnable to the engines of torture, preserving undiminished the riches of his glory for Jesus your Lord. God of our fathers, blessed art Thou!

Οἱ βυθῷ ἀσεβείας
  διαιτώμενοι θῆρες | φρέαρ ὁρίζουσι
διαίτημα θηρῶν σοι·
ἐκδέχεται δὲ οἶκος
  τοῦ φωτός σε κραυγάζοντα
«ὁ τῶν πατέρων ⟨ἡμῶν θεός, εὐλογητὸς εἶ⟩.»

Ἡ σεμνὴ Ῥιψιμία
  τοῦ φωτὸς ὁπλισθεῖσα | σὺν τοῖς συνάθλοις αὐτῆς
τὴν θείαν πανοπλίαν,
τὸν ἄρχοντα τοῦ σκότους
  τροπουμένη ἐκραύγαζεν
«ὁ τῶν πατέρων ἡμῶν θεός, εὐλογητὸς ⟨εἶ⟩.»

Παρθενικῆς ἐκ νηδύος
  σαρκωθεὶς ἐπεφάνης | εἰς σωτηρίαν ἡμῶν·
διό σου τὴν μητέρα
εἰδότες θεοτόκον
  εὐχαρίστως κραυγάζομεν
«ὁ τῶν πατέρων ⟨ἡμῶν θεός, εὐλογητὸς εἶ⟩.»

ᾠδὴ η΄. «Τὸν βασιλέα τῶν»
Τῆς καρτερίας σου τῷ στερρῷ
  ἀνατρέπων | προσβολὰς τυράννου ἀνεβόας
  «Χριστὸν ὑπερυψοῦτε | εἰς πάντας ⟨τοὺς αἰῶνας⟩.»

Τὴν κεκρυμμένην ποθῶν ζωὴν
  ἐνεδύσω | τοῦ Χριστοῦ τὴν νέκρωσιν δοξάζων
  τοῦτον ὡς δεσπότην | εἰς πάντας τοὺς αἰῶνας.

94–96: *Acta Greg.* (supra), 30, 5–31, 3. ‖ 101–102: Rom. 13:12. ‖ 115: cf. Dan. 3:57, etc. ‖ 116: Coloss. 3:3. ‖ 117: Rom. 13:14; 2 Cor. 4:10.

95 ὁρίζουσι ΛΘ: ὀρύσσουσι Δ ‖ 98 σε] σοι Λ ‖ 100 σεπτὴ Λ ‖ 101 immo ταῖς, cf. *Acta Greg.* (supra), 45, 1–46, 2 ‖ 114 τοῦ τυράννου ἐβόας ΛΘ ‖ 115 κ(ύριο)ν ὑμνεῖτε καὶ ὑπερ Λ κ(ύριο)ν ὑμνεῖτε καὶ πρ(΄) Θ ‖ 116 πόθω Δ ‖ 118 κ(ύριο)ν ὑμνεῖτε· καὶ ὑπερ Λ καὶ ὑπερυψῶν τὸν χ(ριστὸ)ν εἰς τοὺς αἰῶν(ας) Θ

The beasts dwelling in the depth of impiety consign you to a pit, a dwelling of wild beasts; but you are received in the House of Light, crying out: "God of our fathers, blessed art Thou!"

Chaste Rhipsimia with her companions, wearing the divine armor of light, put the Prince of Darkness to rout with the cry: "God of our fathers, blessed art Thou!"

Incarnated from a virgin womb you manifested yourself for our salvation; therefore, acknowledging your mother as the Mother of God, we cry out in gratitude: "God of our fathers, blessed art Thou!"

Ode 8. *"Ton basilea tōn"*
By your firm constancy you foiled the attacks of the oppressor, shouting: "Exalted be Christ for ever and ever!"

Longing for the hidden life, you put on the dying of Christ, glorifying him as your Master for ever and ever.

Τῇ ἀσϑενείᾳ σου, Ἰησοῦ,
ἀνδρωϑεῖσα | γυναικεία φύσις σε δοξάζει
τὸν ἀγωνοϑέτην | εἰς πάντας τοὺς αἰῶνας.

Φωτιστικήν σε καὶ χρυσαυγῆ
τὸ σκηνῶσαν | ἐν σοὶ φῶς ἀπρόσιτον, παρϑένε,
ἔδειξε λαμπάδα | εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ ϑ΄. «Κυρίως ϑεοτόκον»
Ἠλλάξω τῶν μαστίγων
ἄνεσιν τὴν ϑείαν
καὶ ἀτιμίας τιμὴν τὴν ἀίδιον,
ἱερομάρτυς, ἀφϑάρτῳ | στέφει στεφόμενος.

Φρουρὰ ἡ τῶν τυράννων,
μάρτυς, σοὶ ἀνοίγει
τῆς οὐρανῶν βασιλείας τὴν εἴσοδον,
ἐν ᾗ συγχαίρων ἀγγέλοις | ϑεῷ παρίστασαι.

Θεόφρον Ῥιψιμία,
ἄνϑος σωφροσύνης,
τροπαιοφόρος γενοῦ τῶν παϑῶν ἡμῶν,
ὡς ἐτροπώσω τυράννου | τὴν ἐπανάστασιν.

Ὡραῖος, ϑεοτόκε,
ἔφυ ὁ καρπός σου,
οὐχὶ φϑορᾶς τοῖς μετέχουσι πρόξενος,
ἀλλὰ ζωῆς τοῖς ἐν πίστει | σὲ μεγαλύνουσι.

123: 1 Tim. 6:16. ‖ 138–140: cf. Gen. 3:6.

119 ἀσϑενεία ΛΔ: δυναστεία Θ ‖ 120 ἀνδρειωϑεῖσα ΛΔ ‖ 130 φρουρὰ ΛΔ: φϑορὰ Θ ‖ 133 ἐν ᾗ ΘΔ: ἐνοῖς Λ ‖ 141 μακαρίζουσιν Δ

Womanhood, made manly by your weakness, Jesus, glorifies you, the judge in the contest, for ever and ever.

The inaccessible Light that dwelt in you, Virgin, made you a luminous lamp, shining like gold, for ever and ever.

Ode 9. *"Kyriōs theotokon"*
You passed from whiplashes to divine repose and from dishonor to eternal honor, Martyr and Priest, crowned with an imperishable crown.

The guard of the oppressors opens for you, Martyr, the entrance to the kingdom of heaven, where you rejoice with the angels, standing before God.

Godly Rhipsimia, flower of modesty, triumph over our passions, as you defeated the oppressor's assault.

Pleasant, O Mother of God, was your fruit, not bringing perdition on those who partake of it, but life to those who in true faith glorify you.

205. Stichera to Peter and Paul

Στιχηρά, ἦχος δ'. Νικολάου πατριάρχου

Ὁ στόματι οὐρανίῳ | τὰ ἐπὶ γῆς οὐρανώσας
Πέτρος σήμερον ὑμνείσθω | νῦν ἀναστρέψας·
δρόμον γὰρ ὡραίων ποδῶν
πορείαν | πρὸς τὴν ἄνω ἀποπτὰς
κάτωθεν ἀνέδραμεν | πρὸς τὸν κατελθόντα
τοῦ ζωγρῆσαι αὐτόν,
καὶ χεῖρας ἐξήπλωσεν | ζώνην μαρτυρίου | εἰς τὸ ζώσασθαι
κατ' ἴχνος ἑπόμενος | τῷ διδασκάλῳ, | ὃν ἠγνόησεν πρίν·
καὶ τῆς σαγήνης | προσφέρων τὴν ἄγραν
ὄψον τῇ θείᾳ τραπέζῃ λαμβάνει
μισθὸν τὸν θρόνον τοῦ θεοῦ
κρίσιν τε τὴν πάνδημον.

Ὁ ἥλιος τῶν δογμάτων | ὁ τοῦ φωτὸς ἀπορροίας
πληρωθεὶς διωκομένου | ἀνευφημείσθω·
Παῦλος ἐκλογῆς
τὸ σκεῦος, | δι' οὗ μύρα τῆς ζωῆς
πέρατα ὠσφράνθησαν | κάρου ἀπιστίας
ἀνασχόντα δεινῆς·
τὸ στόμα τὸ ἥδιστον, | ὅθεν τῆς ἀγάπης | βλύζει ἄβυσσος,
ἐξ οὗ τὸν πολύτιμον | σωρεύει κόσμος | μαργαρίτην στοργῆς·
νῦν τῶν ἐσόπτρων, | μαθητά, λυθέντων
καὶ τῶν σαρκίνων παραπετασμάτων,
προσεντυγχάνεις θεῷ,
οὗ φορεῖς τὰ στίγματα.

205: 2: cf. Matth. 16:15–19; 18:18. ‖ 3: cf. Luc. 22:32. ‖ 4: Rom. 10:15; Is. 52:7. ‖ 7: cf. Luc. 5:10; 2 Tim. 2:26. ‖ 8: Ioann. 21:18–19. ‖ 9: Ioann. 21:19–22. ‖ Matth. 26:69–75; Marc. 14:66–72; Luc. 22:54–62; Ioann. 18:25–27. ‖ 10–11: cf. Ioann. 21:4–13. ‖ 12–13: Matth. 19:27–28. ‖ 14–15: Act. 9:3–9. ‖ 16–17: Act. 9:15. ‖ 20: 1 Cor. 13. ‖ 21: Matth. 13:46. ‖ 22: 1 Cor. 13:12. ‖ 25: Gal. 6:17.

205: Σ 2^v–3^r ‖ 11 λαμβάνη Σ ‖ 16 desid. 3 syllabae ‖ 24 προσεντυγχάνης Σ

205. Stichera to Peter and Paul

Stichera, fourth mode. By Nicholas the Patriarch.

He who by his heavenly word changed things on earth to things in heaven, Peter, must be sung today, since it is now that he has returned home: he ran the course of the beautiful feet, he took his upward flight, and from here below he ascended to the One who came down to catch him. He stretched forth his hands to be girded with the girdle of martyrdom, following in the footsteps of his Teacher, whom he had denied before; and offering the catch of his net for a dish on the Divine Table, he received in return the throne of God and judgment upon all nations.

The Sun of the Faith, imbued with the radiance of the Light he persecuted, must be celebrated in song: Paul, the chosen vessel, through whom came to the ends of the earth the fragrance of the ointments of life, waking them up from the torpor of deadly unbelief; that mouth so sweet, the fountain of the deep waters of love, from which the world gathers the precious pearls of tenderness. Now, Disciple of Christ, the mirrors taken away and the veils of the body, you meet God face to face, of whose wounds you bear the marks.

206

Ἕτερος κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Νικόλαον ἐν τοῖς ϑεοτοκίοις «Νικολάου»

ᾠδὴ α΄. ἦχος πλ. β΄. «Κύματι ϑαλάσσης»
Πάτερ ϑεοφόρε, | πατέρων ἀκρότης,
σοφὲ Νικόλαε,
μὴ ὑπερίδῃς με | καταφυγόντα τῇ σκέπῃ
τὸν ἀνάξιον καὶ ἄϑλιον | τῆς σεπτῆς πρεσβείας σου
τυχεῖν με τῆς αἰτήσεως.

Ἅρπασον χειρῶν με | ἀδίκων ἀνϑρώπων,
πάτερ Νικόλαε,
καὶ διαφύλαξον, | ὅτι ἰδοὺ ὥσπερ κύνες
ὠρυόμενοι ζητοῦσί με | ἀπολέσαι, ἅγιε·
ἐλέησον τὸν δοῦλόν σου.

Μή με ἀποστρέψῃς | ϑλιβόμενον, πάτερ,
τῆς ἀντιλήψεως
τῆς σῆς τὸν ἄσωτον· | μὴ ἐκκακήσῃς ἀκούων
τῆς φωνῆς τῆς ἀναξίας μου· | ὅσα ϑέλεις δύνασαι,
ἐπίσκεψαί με, ἅγιε.

Νεῦσον, παναγία, | ἁγία ἁγίων,
παρϑένε δέσποινα,
Χριστιανῶν ἡ ἐλπίς, | τῇ ἀναξίᾳ δεήσει
τοῦ οἰκέτου σου· εἰσάκουσον, | ἀσϑενοῦντα ἴασαι
καὶ σῶσόν με τὸν δείλαιον.

ᾠδὴ γ΄. «Σὲ τὸν ἐπὶ ὑδάτων»
Ἀσϑενοῦντά με, πάτερ, | ἀνάστησον
ἀπεγνωσμένον ὄντα·
ὡς ὁ Χριστὸς τὴν παῖδα | τοῦ Ἰαΐρου ἀνέστησεν,
οὕτως κἀμὲ τὸν δοῦλόν σου, | πατέρων ἄριστε,
σῶσον, ἅγιε Νικόλαε.

206: 16: Luc. 15:13. ‖ 27: Marc. 5:22–43; Luc. 8:41–56.

206: Ξ 133^r–134^r Γ 22^r–24^v Φ 92^v–96^v ‖ initia hirmorum secundum Ξ dedi ‖ 1 ἕτερος κανὼν εἰς τὸν ὅσιον π(ατέ)ρα ἡμῶν νικόλαον Γ Κανὼν παρακλητικὸς τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν νικολ(άου) Φ ‖ 7 τῆς σεπτῆς Ξ: τῇ ϑερμῇ ΓΦ ‖ πρεσβείᾳ Γ ‖ 8 τύχιμοι τῆς ἰάσεως Γ ‖ 9–13 post 18 pon. Γ ‖ 9 ἐξάρπασων Φ ‖ 10–11 καὶ διαφύλαξον πάτερ νικόλαε colloc. Γ ‖ 10 πάτερ] σοφέ Φ ‖ 11 ἰδοὺ ὅτι colloc. Φ ‖ 16 ἐγκακήσεις Φ ‖ 21 ἡ – 22 εἰσάκουσον om. Γ ‖ 22 ἐπάκουσον Φ ‖ ἀσϑενοῦντα ἴασαι Ξ: ἀσϑενῆ ἀνάστησον ΓΦ ‖ 23 δείλαιον Ξ: δοῦλόν σου ΓΦ ‖ 27–28 vss. 37–38 hic habent, vss. 26–28 loco vss. 36–38 pon. ΓΦ ‖ 27 ὡς – παῖδα om. Φ ‖ τοῦ] τῆς Γ ‖ ἰαείρου Ξ

206

Another Supplicatory Canon to Saint Nicholas In the theotokia the acrostic *"Nikolaou"*

Ode 1. Second plagal mode. *"Kymati thalassēs"*

Father inspired, most exalted of fathers, wise Nicholas, do not forsake me, as I take refuge, unworthy and miserable, in the shelter of your venerable intercession, that I may obtain my request.

Snatch me from the hands of unjust men, Father Nicholas, and protect me, for behold, like howling dogs they seek to destroy me, o holy one; take pity on your servant.

Do not turn me away in my distress, Father, from your help, me the prodigal; do not weary of listening to my unworthy voice; whatever you want, you can do: take care of me, holy one.

Lend your ear, All-holy One, Holy of Holy Ones, Virgin Lady, Hope of Christians, to the unworthy prayer of your servant; hear me, cure my sickness, and save me in my misery.

Ode 3. *"Se ton epi hydatōn"*

From my sickness, Father, raise me, for whom there is no hope; as Christ raised up the daughter of Jairus, so save me, your servant also, kindest of fathers, holy Nicholas.

206

Ἰδοὺ ἐπέστη ἡ ὥρα, | ψυχὴ ταπεινή,
τοῦ βίου μετελθεῖν σε·
ἰδοὺ τὸ τέλος ἦλθεν, | ἰδοὺ τὰς χεῖρας ἐκτείνασα
εἰς οὐρανὸν καὶ ὄμματα | «μὴ ὑπερίδῃς με»
κράξον «ἅγιε Νικόλαε.»

Ἐλέησόν με, βοῶ σοι, | πανάγιε,
ἀπογνωσθέντα ὅλως
ὑπὸ τῶν συγγενῶν μου, | ὑπὸ οἰκείων καὶ φίλων μου·
αὐτὸς μὴ ὑπερίδῃς με | δεινῶς στενάζοντα
«σῶσον, ἅγιε Νικόλαε.»

Ἰασαί με, θεοτόκε, | ἡ πάντων πιστῶν
ἐλπὶς καὶ προστασία,
ἡ βοηθὸς καὶ σκέπη | τῶν θλιβομένων, ἀνάστησον
τῇ ἀσθενείᾳ κείμενον | ἐμὲ τὸν δοῦλόν σου·
πέλεις γὰρ ἀπελπισμένων ἐλπίς.

ᾠδὴ δ'. «Τὴν ἐν σταυρῷ σου»
Ὁλολαμπὴς ὑπάρχων, ἅγιε,
σκοτισθέντα με | ὑπὸ τῆς ἀθυμίας
καταύγασόν με, δέομαι, | φώτισον, σοφέ·
παρρησίαν γὰρ ἔχεις πρὸς τὸν φιλάνθρωπον.

Οἱ τὴν ψυχὴν ἐπηρεάζοντες
ἐπληθύνθησαν | ζητοῦντες ἀπολέσαι
τὸν δοῦλόν σου, πανάγιε, | γλῶσσαι δολεραί·
τὰς βουλὰς αὐτῶν θραῦσον κἀμὲ ἐλέησον.

Ἐπὶ τῆς κλίνης κατακείμενον
καὶ βαρούμενον | ὑπὸ τῆς ἀθυμίας
τῷ λόγῳ σου, Νικόλαε, | ἅγιε θεοῦ,
ἐξανάστησον ὥσπερ τὸν παρειμένον Χριστός.

49: 1 Ioann. 3:21. ‖ 52: cf. Ps. 51:6; 108:2; 119:2; 3. ‖ 57: Matth. 9:1–8; Marc. 2:1–12; Luc. 5:17–26.

32 τὸ om. Φ ‖ ἦλθεν Ξ: ἦξεν Γ εἶξεν Φ ‖ ἐκτείνασα Ξ ἐκτίνω σοι Γ ἐκτήνω συχνὸς Φ ‖ 33 οὐ(ρα)νοῦς Φ ‖ 34 κράξον Ξ: κράζων ΓΦ ‖ 36–38 vss. 26–28 hic hab. ΓΦ ‖ 37 οἰκείων Ξ: ἰδίων ΓΦ ‖ 40 με om. Ξ ‖ θεοτόκε] παρθένε Φ ‖ 43 δοῦλόν σου] ἄσωτον Γ ‖ 44 ἀπελπισμένων] sic ΞΓΦ (item in 82) ‖ 46 ὑπάρχων ἅγιε Ξ: ὢν (ὂν Φ) σὺ πανάγιε ΓΦ ‖ 47 με] δεινῶς Ξ ‖ 48 φώτισον σοφέ Ξ: τὸν ἡμιθανὴ Γ -ῆν Φ ‖ 50 ἐπηρεάζοντες Ξ: μου ἐκπειράζοντες Γ μου περεάζωντες Φ ‖ 51 ἐπληθύνθησαν] νῦν add. Γ(Φ) ‖ 52 πανάγιε] νικόλαε Φ ‖ δολεραὶ] πονηρας (sic) Φ ‖ 54 κατακείμενος ΞΓ ‖ 55 βαρούμενος ΞΓ ‖ ἀθυμίας] ἁμαρτείας Φ ‖ 56 τῷ — Νικόλαε] καταύγασόν με δέομαι Γ

206

Behold, the hour has come, my lowly soul, for you to pass from this life; behold, the end has come; now, lifting up your arms and eyes to heaven, cry out: "Do not forsake me, holy Nicholas!"

Have pity on me, as I cry out to you, all-holy one, now that all hope for me has been abandoned by my kinsmen, my companions, and my friends; do not forsake me, as I sigh pitifully: "Save me, holy Nicholas!"

Heal me, Mother of God, hope and support of all the faithful, helper and shelter of the oppressed, raise me up, your servant laid low by sickness; for you are the hope of the hopeless.

Ode 4. *"Tēn en staurō sou"*
You that are all splendor, holy one, shine upon me, I pray, who am enveloped by the darkness of despondency, enlighten me, wise one; for God the Merciful lends you his ear.

Those who harass my soul have multiplied, seeking to destroy your servant, most holy one, with their treacherous tongues; shatter their counsels and take pity on me.

As I lie on my bed, weighed down by despair, raise me up by your word, Nicholas, saint of God, as Christ raised the one that was sick of the palsy.

Κυριοτόκε ἀπειρόγαμε,
μὴ ἐάσῃς με | εἰς τέλος ἀπολέσϑαι·
ἀνάστησόν με, δέσποινα, | τὸν ἡμιϑανῆ
κατακείμενον ἄφωνον καὶ δακρύοντα.

ᾠδὴ ε΄. «Θεοφανείας σου, Χριστέ»
Τῶν ϑλιβομένων βοηϑὸς
ἐπικληϑεὶς ἐξ ὀνόματος ὤφϑης,
καὶ ἐρρύσω, ἅγιε Νικόλαε,
τοὺς τρεῖς στρατηλάτας τοὺς μέλλοντας
ἀναιτίους διὰ νυκτὸς | ἀναιρεϑῆναι τούτους
ὑπὸ τοῦ ἐπάρχου·
ἐλέησον καὶ ἐμὲ ταῖς ἱκεσίαις σου.

Νεκρὰν ἐγείρας Ταβιϑὰ
ϑλίψεις πολλὰς καταπαύει ὁ Πέτρος·
ὁ δὲ Παῦλος Εὔτυχον ἐζώωσεν
κρημνισϑέντα, πάτερ Νικόλαε·
διὸ σπεῦσον, ὅτι ἰδοὺ | ἀπεγνωσμένος εἰμὶ
ἐκ παντὸς ἀνϑρώπου·
ἀνάστησον, δυσωπῶ σε, παναοίδιμε.

Ἐλέησόν με, ὁ ϑεός,
τὸν κείμενον ἐπὶ κλίνης ὀδύνης
ἱκεσίαις τοῦ οὐρανοφάντορος
Νικολάου τοῦ σοῦ ϑεράποντος,
ὅτι κεῖμαι καὶ δυσπετῶ | ἀπορραγεὶς τὸ σῶμα
καὶ ἀπελπισμένος·
ἐπάκουσον, ἀγαϑέ, καὶ ἐξανάστησον.

Οὐδεὶς προστρέχων ἐπὶ σοί,
πανύμνητε ϑεοτόκε παρϑένε,
ὁλοψύχως, κενὸς ἐκπορεύεται,
ἀλλ᾽ εὐϑὺς λαμβάνει τὸ αἴτημα·
οὕτως, δέσποινα, καὶ ἐμὲ | μὴ ἀποστρέψῃς κενὸν
τῆς σῆς βοηϑείας,
ἀλλ᾽ ἕξω χάριν καὶ φῶς καὶ ἀγαλλίαμα.

63–68: G. Anrich, *Hagios Nikolaos,* I (Lipsiae, 1913), 67–77 et 129, 9–130, 18. || 70–71: Act. 9:40–41. || 72–73: Act. 20:9–12. || 78: Ps. 40:4.

60 δέσποινα] δέομαι Γ(Φ) || 61 ἄφον Φ || 68 ὑπάρχου Ξ || 70 ταβηϑὰν Γ: -ᾶ Φ || 73 πάτερ] ἅγιε Φ || 79 ἱεροφάντωρος Γ(Φ) || 81 δυσωπῶ Γ || 82 ἀπεγνωσμένος ΓΦ || 83 ἀγαϑὲ καὶ ἐξανάστησον Ξ: καὶ ἐμὲ (ἐμοῦ Φ) ταῖς ἱκε- σίαις σου ΓΦ || 86 καὶ κενὸς Γ(Φ) || πορεύεται Γ || 90 ἕξω] εὕρω Γ

Mother of God, untouched by man, do not let me perish forever; raise me up, Our Lady, as I lie half dead, speechless and weeping.

Ode 5. *"Theophaneias sou, Christe"*

You appeared when called by name, a helper of the oppressed, and you saved, holy Nicholas, the three commanders, when the moment was near for them to be innocently slain at night by the prefect; take pity also on me through your entreaties.

When Peter raised up dead Tabitha, he assuaged the sorrows of many; Paul restored life to Eutychus after his headlong fall, Father Nicholas; therefore hasten, for behold! I have been given up for dead by every man; raise me, I beseech you, most glorious one.

Have mercy upon me, O God, as I lie on my bed of languishing, through the entreaties of the revealer of heaven, Nicholas, thy servant; for I lie in misery, my body torn, bereft of hope; listen to me, Good Lord, and raise me again.

No one that took refuge with you with all his heart, ever-praised virgin Mother of God, goes away empty-handed, but forthwith he receives what he asked; thus, Our Lady, do not turn me away deprived of your help, but let me find grace and light and rejoicing.

206

ᾠδὴ ϛʹ. «Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη»
Ἁγιάζεις | καὶ καταφωτίζεις,
πάτερ, τὰς ψυχὰς τῶν βροτῶν·
σοῦ γὰρ τὸ εἶδος φέρει
φωτισμὸν καὶ φωταυγῆ ἀκτῖνα
καὶ καταυγάζει | ὁ ναός σου ἅπαντας
τοὺς προστρέχοντας καὶ δυσωποῦντας
καὶ ἀνυμνοῦντάς σε, ἅγιε τοῦ θεοῦ·
δέξαι καὶ ἡμᾶς παρακαλοῦντάς σε.

Σοὶ προσπίπτω | δάκρυσιν ὁ τάλας,
ἅγιε Νικόλαε,
ὅτι ἰδοὺ ἐκλείπω
καὶ ἐτάκη ὡς κηρὸς τὸ σῶμα
καὶ ἡ ψυχή μου | πλήρης ἡ κατώδυνος·
ἐπικάμφθητί μου τῇ δεήσει
καὶ ἐξανάστησον, ἅγιε τοῦ θεοῦ,
ὥσπερ ὁ Χριστὸς τὸν τετραήμερον.

Οἱ ἀδίκως | μέλλοντες τεθνάναι
εὗρόν σε λιμένα ζωῆς·
λιμὴν ὁ σὸς ναὸς γὰρ
καὶ ἀντίληψις τοῖς ἐν ἀνάγκαις·
διὸ προσπίπτω, | ἅγιε Νικόλαε,
παρακλήθητι καὶ μὴ ἀπώσῃ,
ὅτι ἐξέλιπεν ὅλη μου ἡ ἰσχύς·
τύχω διὰ σοῦ τῆς προσδοκίας μου.

Λευκανθῆναι, | δέσποινα, αἰτοῦμαι
τὴν ἐσκοτισμένην ψυχήν·
ἠμαυρωμένος γάρ μου
καὶ ὁ βίος καὶ ὁ χρόνος ἐστίν·
δεδοξασμένη, | ἅγνισόν με, πάναγνε,
καὶ ἀνάστησόν με, θεοτόκε,
καὶ τοῦ φωτός με υἱὸν ἔργασαι, ὅτι φῶς
ἔτεκες Χριστόν, διό με φώτισον.

103: Ps. 21:15. ‖ 104: cf. Iob 7:4. ‖ 107: Ioann. 11:33–44. ‖ 114: Ps. 70:9. ‖ 122: Luc. 16:8; Ioann. 12:36; 1 Thess. 5:5.

---

93 βροτῶν Ξ: πιστῶν ΓΦ ‖ 94 φέροι Γ ‖ 95 ἀκτῖνας Γ(Φ) ‖ 98 ἀνυμνοῦντα Γ ‖ 99 παρακαλοῦντα Γ ‖ 102 ἰδοὺ om. Γ ‖ 103 ἐτάκην Γ(Φ) ‖ σῶμα] πν(εῦμ)α Γ ‖ 104 ἡ[2] Wk: εἶ Ξ ἦν Γ ἦν Φ ‖ 106 ἀνάστησον Γ ‖ 109 εὗρου Φ ‖ 110 λιμὴν γὰρ ὁ ναός σου ΓΦ ‖ 111 τοῖς ἐν ἀνάγκαις] τῶν ἐπανισταμένων Ξ ‖ 112 προσπίπτω] σοι add. ΓΦ ‖ 115 διάσαι (= διὰ σὲ) Φ ‖ 117 μου ψυχὴν ΓΦ ‖ 119 καὶ[1] om. Φ ‖ 120 post δεδοξασμένη] σεμὴ (= σεμνὴ?) Γ ‖ ἅγνισόν με, πάναγνε] σῶσον με πανάχραντε Φ ‖ 121 με] ὢ Γ ‖ 123 Χριστόν] ἁγνὴ Γ ‖ διού Φ

206

Ode 6. *"Syneschethē, all' ou kateschethē"*

You sanctify and illuminate, Father, the souls of mortals; for your appearance brings illumination and radiant brightness, and your temple sheds light upon all who flee to you and implore you and celebrate you, Saint of God; receive us also as your supplicants.

I throw myself at your feet in tears, a miserable wretch, holy Nicholas, for behold, I am failing, my body has melted like wax, and my soul is full of woe; stoop down to my prayer and raise me up, Saint of God, as Christ raised Lazarus on the fourth day.

Those about to die unjustly found you a haven of life; yes, your temple is a haven and a refuge for those in distress; therefore I implore you, holy Nicholas, listen to my prayer and do not reject me, for all my strength has failed; let me obtain my desire through you.

Let my darkened soul, I pray you, Our Lady, be made white, for tarnished are my life and my age; Glorious One, All-pure One, purify me, raise me up, Mother of God, and make me a child of light, for you bore the Light that is Christ; therefore enlighten me.

206

ᾠδὴ ζʹ. «Ἄφραστον θαῦμα»

Ὢ ξένον θαῦμα· | τοῦ ἐν πενίᾳ ὑπάρχοντος
ὡς ἐρρύσω ὕλης ἀπεχθοῦς
  κόρια σεμνά, | μέλλοντα εἰς βάραθρον
τῆς ἀτιμίας | εἰσδῦναι οὐκ ἐάσας·
  τῷ χρυσῷ γὰρ αὐτὰ | ἔσωσας, πάτερ.

Πάσης πικρίας | ἐπερχομένης ἐκλύτρωσαι,
ἱεράρχα, τὸν ἁμαρτωλόν,
  ἀνθρώπων δεινῶν | καὶ θανατηφόρου ὁρμῆς
καὶ ἀδικίας | καὶ πάσης καταιγίδος,
  εἰρηνεύσας τὸν νοῦν | καὶ τὴν ζωήν μου.

Ἐπὶ τὸ βάθος | τῆς εὐσπλαγχνίας κατέφυγα
καὶ τὸ ὕψος τῶν σῶν δωρεῶν·
  ἀνάστησόν με, | ἅγιε Νικόλαε,
ἵνα κραυγάζω | ῥυσθεὶς ἐκ τῶν κακῶν μου
  «λυτρωτὰ ὁ θεός, | εὐλογητὸς εἶ.»

Ἁγνὴ παρθένε, | ἴδε τὴν θλίψιν τοῦ σώματος
καὶ γενοῦ μοι ῥῶσις ἀγαθή·
  ἰδοὺ τὰ ὀστᾶ | πάντα συνετρίβησαν
καὶ οἱ νεφροί μου· | ἀνάστησον κραυγάζειν
  «λυτρωτὰ ὁ θεός, | εὐλογητὸς εἶ.»

ᾠδὴ ηʹ. «Ἔκστηθι φρίττων»

Σπεῦσον κατάλαβε ταχύ,
  πάτερ Νικόλαε, | ὅτι σπεύδει κατ' ἐμοῦ
ἡ ψῆφος τοῦ θανάτου μέλλουσα | καταδικάσαι με
  ὥσπερ τὴν συκῆν τὴν ξηρανθεῖσαν·
καὶ ἔκτεινόν μοι χεῖρα | καὶ ἀνάστησον τάχος,
ἵνα σε δοξάζω | εἰς πάντας τοὺς αἰῶνας.

125–29: Anrich, *Hagios Nikolaos,* I, 118, 10–123, 6. ‖ 142: cf. Ps. 21:15. ‖ 149: Marc. 11:13; 20; Matth. 21:19. ‖ 150: cf. Act. 3:7; 9:41.

---

125 τοὺς . . . ὑπάρχοντας Γ ‖ 127 μέλλοντας Φ ‖ βάραθρα ΓΦ ‖ 128 ἀτιμίας] ἀπωλείας Γ ‖ εἰσδοῦναι Φ ‖ 129 αὐτὰς ΓΦ ‖ 130 πιρίας Φ ‖ με λύτρωσαι Γ(Φ) ‖ 133 καὶ ἀδικίας] τῶν ἀδικούντων Φ ‖ ἀδικίας] ἁμαρτίας Γ ‖ 134 εἰρηνεῦσαι Γ ‖ νοῦν] μου add. Γ ‖ 135 σῆς Φ ‖ 136 δωρεῶν] οἰκτιρμῶν Γ ‖ 141 ἀγαθή] ἐναργῆ Φ ‖ 142 ἴδε Γ ‖ 143 κραυγάζειν Ξ: με κράζειν Φ με ψάλλειν Γ ‖ 146 κατάβαλε Γ ‖ 150 καὶ[1]] ἀλλ' Γ ‖ καὶ[2] — τάχος] βοηθείας παμμάκαρ Φ ‖ τάχος] ψάλλειν Γ ‖ 151 σὲ Φ

206

Ode 7. *"Aphraston thauma"*

Oh, the astounding miracle, how you rescued from loathsome mire the poor man's chaste daughters, not allowing them to sink down into the gulf of shame; with your gold you saved them, Father.

Deliver me, a sinner, from all the hardship that assails me, holy Bishop, from treacherous men and deadly assault and injustice and all turmoil, granting peace to my mind and my life.

I take refuge in the profundity of your mercy and in the sublimity of your gifts; raise me up, holy Nicholas, so that I may cry out, delivered from my ills: "God our Liberator, blessed art Thou!"

Pure Virgin, look upon the affliction of my body and be to me a goodly source of strength; see, my bones and my kidneys are all crushed; raise me up, so that I may cry: "God, our Liberator, blessed art Thou!"

Ode 8. *"Ekstēthi phrittōn"*

Hasten, come to me soon, Father Nicholas, for without delay the sentence of death will be pronounced on me as on the fig tree that withered; stretch out your hand to me and raise me up fast, so that I may glorify you for ever and ever.

206

Τῆς χαλεπῆς με συμφορᾶς
νῦν ἐξανάστησον, | ἐπιστάτα ἀγαθέ·
ἰδοὺ γὰρ τὰ μὲν χείλη ἔπτυξα, | ὧδε κἀκεῖσε συχνῶς
ὄμματα καὶ χεῖρας περιστρέφων·
οὐδεὶς δὲ βοηθῆσαι | ἢ ἐγεῖραι ἢ σῶσαι
πλήν σου, ἱεράρχα, | διὸ ἐπίσκεψαί με.

Τίς σοι προσέδραμεν ποτέ,
τίς σε ἐκάλεσεν | ἐξ ὀνόματος, σοφέ,
βοήσας «ἅγιε Νικόλαε,» | καὶ οὐκ εὐθὺς βοηθὸς
ἐγένου τοῖς σὲ προσκαλουμένοις;
κἀμὲ μὴ ἀποστρέψῃς, | ἀλλὰ τύχω ὁ τάλας
τῆς ἐλπιζομένης | ψυχικῆς σωτηρίας.

Ὅλος ὑπάρχω ῥυπαρός,
ὅλος αἰσχρός εἰμι | καὶ οὐ βλέπω σου τὸ φῶς·
ἁγία θεοτόκε, φώτισον | τὴν ταπεινήν μου ψυχὴν
καὶ δώρησαι καιρὸν μετανοίας,
αἰνεῖν τε καὶ δοξάζειν, | παναγία παρθένε,
σὲ καὶ τὸν υἱόν σου | πρεσβείαις τοῦ ὁσίου.

ᾠδὴ θ'. «Μὴ ἐποδύρου μοι, μῆτερ»
Συνημιλλήθης ἀγγέλοις, | τῆς ἁγίας τριάδος
ὁμιλητὴς καὶ θεατὴς | ὑπάρχων ὡς Μωσῆς,
ἐκ προνοίας θείας | ἱερουργὸς χειρισθείς·
παρρησίαν ὡς ἔχων, | σοφέ, πρὸς τὸν θεὸν
μὴ ἐλλίπῃς πρεσβεύειν | ὑπὲρ τῶν δούλων σου.

Οἱ καταφεύγοντες πίστει | ἐν τῷ οἴκῳ σου, πάτερ,
τῶν θλιβερῶν καὶ λυπηρῶν | λυτροῦνται παρευθύ·
